SISMANOGLIO MEGARO

2080

M Ridley

# ΑΝΘΟΛΟΓΙΑ ΔΕΥΤΕΡΑ

SIVE

Poematum Græcorum minorum

# DELECTUS

IN USUM

Scholæ Regiæ WESTMONASTERIENSIS.




OXONIÆ,

E TYPOGRAPHEO CLARENDONIANO,

Sumptibus B. BARKER, MDCCXXV.

# ΑΝΘΟΛΟΓΙΑ ΔΕΥΤΕΡΑ.

## Ἐκ τοῦ περὶ ἔργων καὶ ἡμερῶν βιβλίου πρώτου

## ΗΣΙΟΔΟΥ.

ΩΣ ὁμόθεν γεγάασι θεοὶ θνητοί τ' ἄνθρωποι,
Χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
Ἀθάνατοι ποίησαν, ὀλύμπια δώματ' ἔχοντες.
Οἱ μὲν ἐπὶ Κρόνου ἦσαν, ὅτ' οὐρανῷ ἐμβασίλευεν·
Ὥς τε θεοὶ δ' ἔζωον, ἀκηδέα θυμὸν ἔχοντες,
Νόσφιν ἄτερ τε πόνων καὶ ὀϊζύος· οὐδέ τι δειλὸν
Γῆρας ἐπῆν· αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
Τέρποντ' ἐν θαλίῃσι, κακῶν ἔκτοσθεν ἁπάντων.
Θνῆσκον δ' ὡς ὕπνῳ δεδμημένοι· ἐσθλὰ δὲ πάντα
Τοῖσιν ἔην· καρπὸν δ' ἔφερε ζείδωρος ἄρουρα
Αὐτομάτη πολλόν τε καὶ ἄφθονον· οἱ δ' ἐθελημοὶ
Ἥσυχοι ἔργα νέμοντο, σὺν ἐσθλοῖσιν πολέεσσιν.
Αὐτὰρ ἐπεί κεν τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
Τοὶ μὲν δαίμονές εἰσι Διὸς μεγάλου διὰ βουλὰς,
Ἐσθλοὶ, ἐπιχθόνιοι, φύλακες θνητῶν ἀνθρώπων·
Οἵ ῥα φυλάσσουσί τε δίκας καὶ σχέτλια ἔργα,
Ἠέρα ἑσσάμενοι, πάντη φοιτῶντες ἐπ' αἶαν,
Πλουτοδόται· καὶ τοῦτο γέρας βασιλήιον ἔσχον.

Δεύτερον αὖτε γένος πολὺ χειρότερον μετόπισθεν
Ἀργύρεον ποίησαν Ὀλύμπια δώματ' ἔχοντες,
Χρυσέῳ οὔτε φυὴν ἐναλίγκιον οὔτε νόημα.
Ἀλλ' ἑκατὸν μὲν παῖς ἔτεα παρὰ μητέρι κεδνῇ
Ἐτρέφετ' ἀτάλλων, μέγα νήπιος, ᾧ ἐνὶ οἴκῳ·
Ἀλλ' ὅταν ἡβήσειε, καὶ ἥβης μέτρον ἵκοιτο
Παυρίδιον ζώεσκον ἐπὶ χρόνον, ἄλγε' ἔχοντες
Ἀφραδίαις· ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο
Ἀλλήλων ἀπέχειν, οὐδ' ἀθανάτους θεραπεύειν
Ἤθελον, οὐδ' ἔρδειν μακάρων ἱεροῖς ἐπὶ βωμοῖς,
Ἣ θέμις ἀνθρώποισι καὶ ἤθεα. τοὺς μὲν ἔπειτα
Ζεὺς Κρονίδης ἔκρυψε, χολούμενος οὕνεκα τιμὰς
Οὐκ ἐδίδουν μακάρεσσι θεοῖς, οἳ Ὄλυμπον ἔχουσιν.

Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
Τοὶ μὲν ὑποχθόνιοι μάκαρες θνητοὶ καλέονται
Δεύτεροι, ἀλλ' ἔμπης τιμὴ καὶ τοῖσιν ὀπηδεῖ.
Ζεὺς δὲ πατὴρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώπων
Χάλκειον ποίησ', οὐκ ἀργυρέῳ οὐδὲν ὁμοῖον,
Ἐκ μελιᾶν, δεινόν τε καὶ ὄμβριμον· οἷσιν Ἄρηος
Ἔργ' ἔμελε στονόεντα καὶ ὕβριες· οὐδέ τι σῖτον
Ἤσθιον, ἀλλ' ἀδάμαντος ἔχον κρατερόφρονα θυμὸν,
Ἄπλαστοι· μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι
Ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖς μελέεσσιν.
Τοῖς δ' ἦν χάλκεα μὲν τεύχεα, χάλκεοι δέ τε οἶκοι,
Χαλκῷ δ' ἐργάζοντο· μέλας δ' οὐκ ἔσκε σίδηρος.

Καί



Καί τοι μὲν χείρεσσιν ὑπὸ σφετέρησι δαμέντες
Βῆσαν ἐς εὐρώεντα δόμον κρυεροῦ ἀΐδαο,
Νώνυμοι· θάνατος δὲ καὶ ἐκπάγλους περ ἐόντας
Εἷλε μέλας, λαμπρὸν δ' ἔλιπον φάος ἠελίοιο.

Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
Αὖθις ἔτ' ἄλλο τέταρτον ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ζεὺς Κρονίδης ποίησε δικαιότερον καὶ ἄρειον,
Ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται
Ἡμίθεοι, προτέρῃ γενεῇ, κατ' ἀπείρονα γαῖαν.
Καὶ τοὺς μὲν πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ,
Τοὺς μὲν ἐφ' ἑπταπύλῳ Θήβῃ, Καδμηΐδι γαίῃ,
Ὤλεσε μαρναμένους μήλων ἕνεκ' Οἰδιπόδαο·
Τοὺς δὲ καὶ ἐν νήεσσιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης
Ἐς Τροίην ἀγαγὼν, Ἑλένης ἕνεκ' ἠϋκόμοιο·
Ἔνθ' ἤτοι τοὺς μὲν θανάτου τέλος ἀμφεκάλυψε·
Τοῖς δὲ δίχ' ἀνθρώπων βίοτον καὶ ἤθε' ὀπάσσας
Ζεὺς Κρονίδης κατένασσε πατὴρ ἐς πείρατα γαίης.
Καὶ τοὶ μὲν ναίουσιν ἀκηδέα θυμὸν ἔχοντες
Ἐν μακάρων νήσοισι, παρ' Ὠκεανὸν βαθυδίνην,
Ὄλβιοι ἥρωες· τοῖσιν μελιηδέα καρπὸν
Τρὶς τοῦ ἔτους θάλλοντα φέρει ζείδωρος ἄρουρα.

Μηκέτ' ἔπειτ' ὤφειλον ἐγὼ πέμπτοισι μετεῖναι
Ἀνδράσιν, ἀλλ' ἢ πρόσθε θανεῖν, ἢ ἔπειτα γενέσθαι.
Νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον· οὐδέ ποτ' ἦμαρ
Παύσονται καμάτου καὶ οἰζύος, οὐδέ τι νύκτωρ,

 Φθει-

φθειρόμενοι· χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας.
Ἀλλ' ἔμπης καὶ τοῖσι μεμίξεται ἐσθλὰ κακοῖσιν.
Ζεὺς δ' ὀλέσει καὶ τοῦτο γένος μερόπων ἀνθρώπων,
Εὖτ' ἂν γεινόμενοι πολιοκρόταφοι τελέθωσιν.
Οὐδὲ πατὴρ παίδεσσιν ὁμοίιος, οὐδέ τι παῖδες,
Οὐδὲ ξεῖνος ξεινοδόκῳ, καὶ ἑταῖρος ἑταίρῳ,
Οὐδὲ κασίγνητος φίλος ἔσσεται, ὡς τὸ πάρος περ·
Αἶψα δὲ γηράσκοντας ἀτιμήσουσι τοκῆας.
Μέμψονται δ' ἄρα τοὺς χαλεποῖς βάζοντ' ἐπέεσσι
Σχέτλιοι, οὐδὲ θεῶν ὄπιν εἰδότες· οὐδὲ μὲν οἵγε
Γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν,
Χειροδίκαι· ἕτερος δ' ἑτέρου πόλιν ἐξαλαπάξει·
Οὐδέ τις εὐόρκου χάρις ἔσσεται, οὔτε δικαίου,
Οὔτ' ἀγαθοῦ. μᾶλλον δὲ κακῶν ῥεκτῆρα καὶ ὕβριν
Ἀνέρα τιμήσουσι. δίκη δ' ἐν χερσὶ καὶ αἰδὼς
Οὐκ ἔσται. βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα,
Μύθοισι σκολιοῖς ἐνέπων, ἐπὶ δ' ὅρκον ὀμεῖται.
Ζῆλος δ' ἀνθρώποισιν ὀϊζυροῖσιν ἅπασιν,
Δυσκέλαδος, κακόχαρτος, ὁμαρτήσει στυγερώπης.
Καὶ τότε δὴ πρὸς ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης,
Λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλὸν,
Ἀθανάτων μετὰ φῦλον ἴτον, προλιπόντ' ἀνθρώπους,
Αἰδὼς καὶ Νέμεσις. τὰ δὲ λείψεται ἄλγεα λυγρὰ
Θνητοῖς ἀνθρώποισι. κακοῦ δ' οὐκ ἔσσεται ἀλκή.

ΘΕΟΚΡΙ-



# ΘΕΟΚΡΙΤΟΥ

## ΘΥΡΣΙΣ, ἢ ΩΔΗ,

### Εἰδύλλιον α'.

ΘΥΡΣΙΣ ΠΟΙΜΗΝ, καὶ ΑΙΠΟΛΟΣ.

Ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα,
Ἁ ποτὶ ταῖς παγαῖσι μελίσδεται· ἁδὺ δὲ καὶ τὺ
Συρίσδες· μετὰ Πᾶνα τὸ δεύτερον ἆθλον ἀποισῇ.
Αἴκα τῆνος ἕλῃ κεραὸν τράγον, αἶγα τὺ λαψῇ·
Αἴκα δ' αἶγα λάβῃ τῆνος γέρας, ἐς τὲ καταῤῥεῖ
Ἁ χίμαρος· χιμάρω δὲ καλὸν κρῆς, ἔς τε κ' ἀμέλξῃς.

ΑΙΠΟΛΟΣ.

Ἅδιον, ὦ ποιμὰν, τὸ τεὸν μέλος, ἢ τὸ καταχὲς
Τῆν' ἀπὸ τᾶς πέτρας καταλείβεται ὑψόθεν ὕδωρ.
Αἴκα ταὶ Μῶσαι τὰν οἴιδα δῶρον ἄγωνται,
Ἄρνα τὺ σακίταν λαψῇ γέρας· αἰ δέ κ' ἀρέσκῃ
Τήναις ἄρνα λαβεῖν, τὺ δὲ τὰν οἶν ὕστερον ἀξεῖς.

ΘΥΡΣΙΣ.

Λῆς ποτὶ τᾶν νυμφᾶν, λῆς, αἰπόλε, τῇδε καθίξας,
Ὡς τὸ κάταντες τοῦτο γεώλοφον, αἵ τε μυρῖκαι,
Συρίσδεν; τὰς δ' αἶγας ἐγὼν ἐν τῷδε νομευσῶ.

ΑΙΠΟΛΟΣ.

Οὐ θέμις, ὦ ποιμὰν, τὸ μεσαμβρινὸν, οὐ θέμις ἄμμιν

Συρί-

Συρίσδεν· τὸν Πᾶνα δεδοίκαμες. ἦ γὰρ ἀπ' ἄγρας
Τανίκα κεκμακὼς ἀμπαύεται· ἐντὶ γε πικρὸς,
Καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.
Ἀλλὰ (τὺ γὰρ δὴ Θύρσι τὰ Δάφνιδος ἄλγεα εἴδες,
Καὶ τᾶς βωκολικᾶς ἐπὶ τὸ πλέον ἵκεο Μώσας,)
Δεῦρ' ὑπὸ τὰν πτελέαν ἑσδώμεθα, τῶ τε Πριήπω
Καὶ τᾶν κρανιάδαν κατεναντίον, ἇπερ ὁ θῶκος
Τῆνος ὁ πωμενικὸς καὶ ταὶ δρύες. αἰ δέ κ' ἀείσῃς,
Ὡς ποκα τὸν Λιβύαθε ποτὶ Χρόμιν ᾆσας ἐρίσδων,
Αἶγά τέ τοι δωσῶ διδυματόκον ἐς τρὶς ἀμέλξαι,
Ἃ δύ' ἔχοισ' ἐρίφως, ποταμέλγεται ἐς δύο πέλλας·
Καὶ βαθὺ κισσύβιον κεκλυσμένον ἁδέϊ καρῷ,
Ἀμφῶες, νεοτευχὲς, ἔτι γλυφάνοιο ποτόσδον.
Τῶ περὶ μὲν χείλη μαρύεται ὑψόθι κισσὸς,
Κισσὸς ἑλιχρύσῳ κεκονισμένος· ἁ δὲ κατ' αὐτὸν
Καρπῷ ἕλιξ εἰλεῖται ἀγαλλομένα κροκόεντι.
Ἔντοσθεν δὲ γυνὰ, τὶ θεῶν δαίδαλμα, τέτυκται,
Ἀσκητὰ πέπλῳ τε καὶ ἄμπυκι· πὰρ δέ οἱ, ἄνδρες
Καλὸν ἐθειράζοντες ἀμοιβαδὶς ἄλλοθεν ἄλλος
Νεικείοισ' ἐπέεσσι· τὰ δ' οὐ φρενὸς ἅπτεται αὐτᾶς.
Ἄλλοκα μὲν τῆνον ποτιδέρκεται ἄνδρα γελεῦσα,
Ἄλλοκα δ' αὖ ποτὶ τὸν ῥιπτεῖ νόον. οἱ δ' ὑπ' ἔρωτος
Δηθὰ κυλοιδιόωντες ἐτώσια μοχθίζοντι.
Τοῖς δὲ μέτα, γριπεύς τε γέρων, πέτρα τε τέτυκται
Λεπρὰς, ἐφ' ᾇ σπεύδων, μέγα δίκτυον ἐς βόλον ἕλκει

Ὁ



Ὁ πρέσβυς, κάμνοντι τὸ καρτερὸν ἀνδρὶ ἐοικώς.
Φαίης κεν γυίων νιν ὅσον σθένος ἐλλοπιεύειν·
Αἱ δέ οἱ ᾠδήκαντι κατ' αὐχένα πάντοθεν ἶνες,
Καὶ πολιῷ περ ἐόντι· τὸ δὲ σθένος ἄξιον ἄβας.
Τυτθὸν δ' ὅσσον ἄπωθεν ἁλιτρύτοιο γέροντος,
Πυρναίαις σταφυλαῖσι καλὸν βέβριθεν ἀλωά.
Τὰν ὀλίγος τις κῶρος ἐφ' αἱμασιαῖσι φυλάσσει
Ἥμενος· ἀμφὶ δέ μιν δύ' ἀλώπεκες· ἁ μὲν, ἀν' ὄρχως
Φοιτῇ, σινομένα τὰν τρώξιμον· ἁ δ', ἐπὶ πήραν
Πάντα δόλον τεύχοισα, τὸ παιδίον οὐ πρὶν ἀνήσειν
Φατὶ πρὶν ἢ ἀκράτιστον ἐπὶ ξηροῖσι καθίξοι.
Αὐτὰρ ὅγ' ἀνθερίκεσσι καλὰν πλέκει ἀκριδοθήραν,
Σχοίνῳ ἐφαρμόσδων· μέλεται δέ οἱ οὔτε τι πήρης,
Οὔτε φυτῶν τοσσῆνον, ὅσον περὶ πλέγματι γαθεῖ.
Παντᾷ δ' ἀμφὶ δέπας περιπέπταται ὑγρὸς ἄκανθος,
Αἰπολικόν τι θάημα· τέρας κέ τυ θυμὸν ἀτύξαι.
Τῶ μὲν, ἐγὼ πορθμεῖ Καλυδωνίῳ αἶγά τ' ἔδωκα
Ὦνον, καὶ τυρόεντα μέγαν λευκοῖο γάλακτος.
Οὐδέτι πω ποτὶ χεῖλος ἐμὸν θίγεν, ἀλλ' ἔτι κεῖται
Ἄχραντον· τῷ κέν τυ μάλα πρόφρων ἀρεσαίμαν,
Αἴκεν μοι τὺ φίλος τὸν ἐφίμερον ὕμνον ἀείσῃς.
Κοὔ τοι τι φθονέω· πόταγ' ὦ 'γαθέ· τὰν γὰρ ἀοιδὰν
Οὔτι πω εἰς Ἀΐδαν γε τὸν ἐκλελάθοντα φυλαξεῖς.

ΘΥΡΣΙΣ.

Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.

Θύρ-

Θύρσις ὅδ' ὡξ Αἴτνας, καὶ Θύρσιδος ἁδ' ἁ φωνά.
Πᾶ ποκ' ἄρ' ἦσθ' ὅκα Δάφνις ἐτάκετο; πᾶ ποκα νύμφαι;
Ἦ κατὰ Πηνειῶ καλὰ τέμπεα; ἢ κατὰ Πίνδω;
Οὐ γὰρ δὴ ποταμοῖο μέγαν ῥόον εἴχετ' Ἀνάπω,
Οὐδ' Αἴτνας σκοπιὰν, οὐδ' Ἄκιδος ἱερὸν ὕδωρ.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Τῆνον μὰν θῶες, τῆνον λύκοι ὠρύσαντο,
Τῆνον χὡκ δρυμοῖο λέων ἀνέκλαυσε θανόντα.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Πολλαί οἱ πὰρ ποσσὶ βόες, πολλοὶ δέ τε ταῦροι,
Πολλαὶ δ' αὖ δαμάλαι καὶ πόρτιες ὠδύραντο.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθ' Ἑρμᾶς πράτιστος ἀπ' ὤρεος· εἶπε δέ, Δάφνι,
Τίς τυ κατατεύχει; τίνος ὦ 'γαθὲ τόσσον ἔρασαι;
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθον τοὶ βῶται, τοὶ ποιμένες, ὡ'πόλοι ἦνθον·
Πάντες ἀνηρώτευν τί πάθοι κακόν. ἦνθ' ὁ Πρίαπος,
Κἤφα, Δάφνι τάλαν, τί τυ τάκεαι; ἁ δέ τε κώρα
Πᾶσαν ἀνὰ κράναν, πάντ' ἄλσεα ποσσὶ φορεῖται
(Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς)
Ζαλοῖσ'. ἇ δύσερώς τις ἄγαν καὶ ἀμήχανος ἐσσί.
Τὼς δ' οὐδὲν ποτελέξαθ' ὁ βωκόλος· ἀλλὰ τὸν αὐτῶ
Ἄνυε πικρὸν ἔρωτα, καὶ ἐς τέλος ἄνυε μοίρας.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθέ γε μὰν ἀδεῖα καὶ ἁ Κύπρις γελάοισα,

Λάθρη



Λάθρη μὲν γελάοισα, βαρὺν δ' ἀνὰ θυμὸν ἔχοισα·
Κεἶπε, Τὺ θὴν τὸν ἔρωτα κατεύχεο, Δάφνι, λυγιξεῖν·
Ἆρ' οὐκ αὐτὸς ἔρωτος ὑπ' ἀργαλέω ἐλυγίχθης;
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Τὰν δ' ἄρα χὡ Δάφνις ποταμείψατο, Κύπρι βαρεῖα,
Κύπρι νεμεσσατὰ, Κύπρι θνατοῖσιν ἀπεχθής.
Ἤδη γὰρ φράσδει πάνθ' ἅλιον ἄμμι δεδύκει·
Δάφνις, κεἰν ἀΐδα κακὸν ἔσσεται ἄλγος ἔρωτος.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Οὐ λέγεται τὰν Κύπριν ὁ βωκόλος, ἕρπε ποτ' Ἴδαν,
Ἕρπε ποτ' Ἀγχίσαν· τηνεῖ δρύες, ὧδε κύπειρος,
Ὧδε καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ὡραῖος χ' ὡ Ἄδωνις, ἐπεὶ καὶ μᾶλα νομεύει,
Καὶ πτῶκας βάλλει, καὶ θηρία πάντα διώκει.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Αὖτις ὅπως στάσῃ Διομήδεος ἄσσον ἰοῖσα,
Καὶ λέγε, Τὸν βώταν νικῶ Δάφνιν, ἀλλὰ μάχευ μοι.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ὦ λύκοι, ὦ θῶες, ὦ ἀν' ὤρεα φωλάδες ἄρκτοι,
Χαίρεθ'· ὁ βωκόλος ὔμμιν ἐγὼ Δάφνις οὐκέτ' ἀν' ὕλαν,
Οὐκέτ' ἀνὰ δρυμὼς, οὐκ ἄλσεα. χαῖρ' Ἀρέθοισα,
Καὶ ποταμοὶ, τοὶ χεῖτε καλὸν κατὰ Θύμβριδος ὕδωρ.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Δάφνις ἐγὼν ὅδε τῆνος ὁ τὰς βόας ὧδε νομεύων,


Δάφνις

Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Ὦ Πὰν Πὰν, εἴτ᾽ ἐσσὶ κατ᾽ ὤρεα μακρὰ Λυκαίω,
Εἴτε τύ γ᾽ ἀμφιπολεῖς μέγα Μαίναλον· ἔνθ᾽ ἐπὶ νᾶσον
Τὰν Σικελὰν, Ἑλίκας δὲ λίπε ῥίον, αἰπύ τε σᾶμα
Τῆνο Λυκαονίδαο, τὸ καὶ μακάρεσσιν ἀγητόν.
Λήγετε βωκολικᾶς Μῶσαι, ἴτε, λήγετ᾽ ἀοιδᾶς.
Ἔνθ᾽ ὦναξ, καὶ τάνδε φέρ᾽ εὐπάκτοιο μελίπνουν
Ἐκ κηρῶ σύριγγα καλὰν, περὶ χεῖλος ἑλικτάν.
Ἦ γὰρ ἐγὼν ὑπ᾽ ἔρωτος ἐς ἅδαν ἕλκομαι ἤδη.
Λήγετε βωκολικᾶς, Μῶσαι, ἴτε, λήγετ᾽ ἀοιδᾶς.
Νῦν ἴα μὲν φορέοιτε βάτοι, φορέοιτε δ᾽ ἄκανθαι·
Ἁ δὲ καλὰ νάρκισσος ἐπ᾽ ἀρκεύθοισι κομάσαι·
Πάντα δ᾽ ἔναλλα γένοιτο, καὶ ἁ πίτυς ὄχνας ἐνείκαι,
Δάφνις ἐπεὶ θνάσκει· καὶ τὼς κύνας ὥλαφος ἕλκοι,
Κἠξ ὀρέων τοὶ σκῶπες ἀηδόσι γαρύσαιντο.
Λήγετε βωκολικᾶς, Μῶσαι, ἴτε, λήγετ᾽ ἀοιδᾶς.
Χὼ μὲν, τόσσ᾽ εἰπὼν ἀπεπαύσατο· τὸν δ᾽ Ἀφροδίτα
Ἤθελ᾽ ἀνορθῶσαι· τά γε μὰν λίνα πάντα λελοίπει
Ἐκ Μοιρᾶν. χὠ Δάφνις ἔβα ῥόον, ἔκλυσε δίνα
Τὸν Μώσαις φίλον ἄνδρα, τὸν οὐ νύμφαισιν ἀπεχθῆ.
Λήγετε βωκολικᾶς, Μῶσαι, ἴτε, λήγετ᾽ ἀοιδᾶς.
Καὶ τὺ δίδου τὰν αἶγα, τό τε σκύφος, ὥς μιν ἀμέλξας,
Σπείσω ταῖς Μοίσαις. ὦ χαίρετε πολλάκι Μοῖσαι,
Χαίρετ᾽· ἐγὼ δ᾽ ὔμμιν καὶ ἐς ὕστερον ἅδιον ᾀσῶ.





ΑΙΠΟΛΟΣ.
Πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα, Θύρσι, γένοιτο,
Πλῆρες δὲ σχαδόνων· καὶ ἀπ᾽ Αἰγίλω ἰσχάδα τρώγοις
Ἁδεῖαν. τέττιγος ἐπεὶ τύγε φέρτερον ᾄδεις.
Ἠνὶ δέ τοι τὸ δέπας· θᾶσαι φίλος ὡς καλὸν ὄσδει·
Ὡρᾶν πεπλύσθαι νιν ἐπὶ κράναισι δοκασεῖς.
Ὧδ᾽ ἴθι Κισσαίθα· τὺ δ᾽ ἄμελγέ νιν. αἱ δὲ χίμαιραι
Οὐ μὴ σκιρτάσητε, μὴ ὁ τράγος ὔμμιν ἀναστῇ.

Τοῦ αὐτοῦ

## ΚΗΡΙΟΚΛΕΠΤΗΣ.

Εἰδύλλιον ιθ᾽.

ΤΟΝ κλέπταν ποτ᾽ Ἔρωτα κακὰ κέντασε μέλισσα,
Κηρίον ἐκ σίμβλων συλεύμενον. ἄκρα δὲ χειρῶν
Δάκτυλα πάνθ᾽ ὑπένυξεν. ὁ δ᾽ ἄλγεε, καὶ χέρ᾽ ἐφύση,
Καὶ τὰν γᾶν ἐπάταξε, καὶ ἅλατο. τᾷ δ᾽ Ἀφροδίτᾳ
Δεῖξεν τὰν ὀδύναν, καὶ μέμφετο ὅττιγε τυτθὸν
Θηρίον ἐντὶ μέλισσα, καὶ ἁλίκα τραύματα ποιεῖ;
Χὰ μάτηρ γελάσασα, Τὺ δ᾽ οὐκ ἴσος ἐσσὶ μελίσσαις;
Χὠ τυτθὸς μὲν ἔης, τὰ δὲ τραύματα ἁλίκα ποιεῖς;

Τοῦ αὐτοῦ

# ΕΡΑΣΤΗΣ, ἢ ΔΥΣΕΡΩΣ.

## Εἰδύλλιον κγ'.

Ἀνήρ τις πολύφιλτρος ἀπηνέος ἤρατ' ἐφάβω,
Τὰν μορφὰν ἀγαθῶ, τὸν δὲ τρόπον οὐκ ἔθ' ὁμοίω.
Μίσει τὸν φιλέοντα, καὶ οὐδὲ ἓν ἅμερον εἶχε,
Κοὐκ ᾔδη τὸν Ἔρωτα τίς ἦν θεὸς, ἡλίκα τόξα
Χερσὶ κρατεῖ, πῶς πικρὰ βέλη ποτὶ παιδία βάλλει.
Πάντα δὲ κἠν μύθοισι καὶ ἐν προσόδοισιν ἀτειρής·
Οὐδέ τι τῶν πυρσῶν παραμύθιον, οὐκ ἀμάρυγμα
Χείλεος, οὐκ ὄσσων λιπαρὸν σέλας, οὐ ῥοδόμαλον,
Οὐ λόγος, οὐχὶ φίλαμα τὸ κουφίζον τὸν ἔρωτα·
Οἷα δὲ θὴρ ὑλαῖος ὑποπτεύησι κυναγώς,
Οὕτω πάντ' ἐποίει ποτὶ τὸν βροτόν· ἄγρια δ' αὐτῷ
Χείλεα, καὶ κῶραι δεινὸν βλέπον, εἶχεν ἀνάγκαν·
Τᾷ δὲ χολᾷ τὸ πρόσωπον ἀμείβετο· φεῦγε δ' ἀπὸ χρώς,
Ὕβριν τᾶς ὀργᾶς περικείμενος. ἀλλὰ καὶ οὕτως
Ἦν καλός· ἐξ ὀργᾶς ἐρεθίζετο μᾶλλον ἐραστής.
Λοίσθιον οὐκ ἤνεικε τὰ σύμφορα τᾶς Κυθερείας,
Ἀλλ' ἐλθὼν ἔκλαιε ποτὶ στυγνοῖσι μελάθροις,
Καὶ κύσε τὰν φλιάν. οὕτω δ' ἀνενείκατο φωνάν·
Ἄγριε παῖ καὶ στυγνὲ, κακᾶς ἀνάθρεμμα λεαίνας,





Λάϊνε παῖ, καὶ ἔρωτος ἀνάξιε, δῶρά τοι ἦλθον
Λοίσθια ταῦτα φέρων, τὸν ἐμὸν βρόχον. οὐκ ἔτι γάρ σε,
Κῶρε, θέλω λυπῆν κεχολωμένον· ἀλλὰ βαδίζω
Ἔνθα τύ μευ κατέκρινας· ὅπῃ λόγος ἦμεν ἀταρπὸν,
Ξυνὸν τοῖσιν ἐρῶσι τὸ φάρμακον, ἔνθα τὸ λᾶθος.
Ἀλλὰ καὶ ἢν ὅλον αὐτὸ λαβὼν ποτὶ χεῖλος ἀμέλξω,
Οὐδέ κε τὼς σβέσσω τὸν ἐμὸν πόθον. ἄρτι δὲ χαίρειν
Τοῖσι τεοῖς προθύροις ἐπιβάλλομαι. οἶδα τὸ μέλλον·
Καὶ τὸ ῥόδον καλόν ἐστι, καὶ ὁ χρόνος αὐτὸ μαραίνει·
Καὶ τὸ ἴον καλόν ἐστιν ἐν εἴαρι, καὶ ταχὺ γηρᾷ·
Λευκὸν τὸ κρίνον ἐστὶ, μαραίνεται ἁνίκα πίπτῃ.
Ἁ δὲ χιὼν λευκὰ, καὶ τάκεται ἁνίκα παχθῇ·
Καὶ κάλλος καλόν ἐστι τὸ παιδικὸν, ἀλλ' ὀλίγον ζῇ.
Ἥξει καιρὸς ἐκεῖνος ὁπανίκα καὶ τὺ φιλάσεις,
Ἁνίκα τὰν κραδίαν ὀπτεύμενος, ἁλμυρὰ κλαύσεις.
Ἀλλὰ τὺ παῖ κἂν τοῦτο πανύστατον ἁδύ τι ῥέξον·
Ὁππόταν ἐξενθὼν ἠρτημένον ἐν προθύροισι
Τοῖσι τεοῖσιν ἴδῃς, τὸν τλάμονα μή με παρένθῃς·
Στᾶθι δὲ, καὶ βραχὺ κλαῦσον· ἐπισπείσας δὲ τὸ δάκρυ,
Λῦσον τᾶς σχοίνω με· καὶ ἀμφίθες ἐκ ῥεθέων σῶν
Εἵματα, καὶ κρύψον με· τὸ δ' αὖ πύματόν με φίλασον.
Κἂν νεκρῷ χάρισαι τὰ σὰ χείλεα· μή με φοβαθῇς·
Οὐ δύναμαι ζῆν, εἴγε διαλλάξας με φιλάσεις.
Χῶμα δέ μοι κοίλανον, ὅ μευ κρύψει τὸν ἔρωτα·
Κἂν ἀπίκῃ, τόδε μοι τρὶς ἐπάϋσον, Ὦ φίλε κεῖσαι·

Ἢν δέ γε λῇς, καὶ τοῦτο, Καλός δέ μοι ὤλεθ' ἑταῖρος.
Γράψον καὶ τόδε γράμμα, τό σοι τοίχοισι χαράξω,
"Τοῦτον Ἔρως ἔκτεινεν, ὁδοιπόρε· μὴ παροδεύσῃς,
"Ἀλλὰ στὰς τόδε λέξον, Ἀπηνέα εἶχεν ἑταῖρον.
Ὧδ' εἰπὼν, λίθον εἷλεν· ἐρειδόμενος δ' ἐπὶ τοίχῳ
Ἄχρι μέσων οὐδῶν φοβερὸν λίθον, ἧπτεν ἀπ' αὐτῶν
Τὰν λεπτὰν σχοινίδα· βρόχον δ' ἔμβαλλε τραχήλῳ·
Τὰν ἕδραν δ' ἐκύλισεν ὑπὲκ ποδὸς, ἠδ' ἐκρεμάσθη
Νεκρός. ὁ δ' αὖτ' ὤιξε θύρας, καὶ τὸν νεκρὸν εἶδεν
Αὐλᾶς ἐξ ἰδίας ἠρτημένον· οὐδ' ἐτυλίχθη
Τὰν ψυχὰν, οὐ κλαῦσε νέον φόνον· ἀλλ' ἐπὶ νεκρῷ
Εἵματα πάντ' ἐμίανεν ἐφαβικά. βαῖνε δ' ἐπ' ἄθλου
Γυμνασίων, καὶ τῆλε φίλων ἐπεμαίετο λουτρῶν.
Καὶ ποτὶ τὸν θεὸν ἦνθε τὸν ὕβρισε· λαϊνέας δὲ
Ἵστατ' ἀπὸ κρηπῖδος Ἔρως, ὑδάτων ἐφύπερθεν.
Ἅλατο καὶ τὤγαλμα, κακὸν δ' ἔκτεινεν ἔφαβον.
Αἷμα δ' ἐφοινίχθη· παιδὸς δ' ἐπενάχετο φωνά.
Χαίρετε τοὶ φιλέοντες· ὁ γὰρ μισῶν ἐφονεύθη.
Στέργετε δ' ὕμμες αἴτας· ὁ γὰρ θεὸς οἶδε δικάζειν.



SISMANOGLIO



# ΜΟΣΧΟΥ

## ΕΡΩΣ ΔΡΑΠΕΤΗΣ.

Ἁ ΚΥΠΡΙΣ τὸν Ἔρωτα τὸν υἱέα μακρὸν ἐβώστρει,
Εἴ τις ἐνὶ τριόδοισι πλανώμενον εἶδεν Ἔρωτα,
Δραπετίδας ἐμός ἐστιν· ὁ μανυτὰς γέρας ἑξεῖ.
Μισθός τοι, τὸ φίλαμα τὸ Κύπριδος, ἢν ἀγάγῃς νιν.
Ἔστι δ' ὁ παῖς περίσαμος· ἐν εἴκοσι πᾶσι μάθοις νιν.
Χρῶτα μὲν οὐ λευκὸς, πυρὶ δ' εἴκελος· ὄμματα δ' αὐτοῦ
Δριμύλα καὶ φλογόεντα· κακαὶ φρένες, ἁδὺ λάλημα.
Οὐ γὰρ ἴσον νοέει καὶ φθέγγεται· ὡς μέλι, φωνά.
Ἢν δὲ χολᾷ, νόος ἐστιν ἀνάμερος, ἠπεροπευτὰς,
Οὐδὲν ἀλαθεύων· δόλιον βρέφος, ἄγρια παίσδει.
Εὐπλόκαμον τὸ κάρανον, ἔχει δ' ἰταμὸν τὸ πρόσωπον·
Μικκύλα μὲν τήνῳ τὰ χερύδρια, μακρὰ δὲ βάλλει,
Βάλλει κ' εἰς Ἀχέροντα καὶ εἰς Ἀίδεω βασιλῆα.
Γυμνὸς μὲν τό γε σῶμα, νόος δέ οἱ ἐμπεπύκασται.
Καὶ πτερόεις ὅσον ὄρνις ἐφίπταται ἄλλοτ' ἐπ' ἄλλως
Ἀνέρας ἠδὲ γυναῖκας, ἐπὶ σπλάγχνοις δὲ κάθηται.
Τόξον ἔχει μάλα βαιὸν, ὑπὲρ τόξῳ δὲ βέλεμνον·
Τυτθὸν ἐὸν τὸ βέλεμνον, ἐς αἰθέρα δ' ἄχρι φορεῖται.
Καὶ χρύσεον περὶ νῶτα φαρέτριον, ἔνδοθι δ' ἐντὶ
Τοὶ πικροὶ κάλαμοι, τοῖς πολλάκι κἠμὲ τιτρώσκει.
Πάντα μὲν ἄγρια, πάντα· πολὺ πλέον δέ οἱ αὐτῷ

Βαιὰ λαμπὰς ἐοῖσα τὸν ἅλιον αὐτὸν ἀναίθει.
Ἤν τύ γ' ἕλῃς τῆνον, δήσας ἄγε, μηδ' ἐλεήσῃς.
Κἢν ποτ' ἴδῃς κλαίοντα, φυλάσσεο μή σε πλανήσῃ·
Κἢν γελάᾳ, τύ νιν ἕλκε· καὶ ἢν ἐθέλῃ σε φιλᾶσαι,
Φεῦγε· κακὸν τὸ φίλαμα, τὰ χείλεα φάρμακον ἐντί.
Ἂν δὲ λέγῃ, Λάβε ταῦτα, χαρίζομαι ὅσσά μοι ὅπλα,
Μήτι θίγῃς· πλάνα δῶρα· τὰ γὰρ πυρὶ πάντα βέβαπται.



SISMANOGLIO MEGARO



# ΒΙΩΝΟΣ

## ΕΠΙΤΑΦΙΟΣ ΑΔΩΝΙΔΟΣ.

### Εἰδύλλιον α'.

ΑΙΑΖΩ τὸν Ἄδωνιν· Ἀπώλετο καλὸς Ἄδωνις.
Ὤλετο καλὸς Ἄδωνις, ἐπαιάζουσιν Ἔρωτες.
Μηκέτι πορφυρέοις ἐνὶ φάρεσι, Κύπρι, κάθευδε·
Ἔγρεο δειλαία κυανόστολε, καὶ πλατάγησον
Στήθεα, καὶ λέγε πᾶσιν, Ἀπώλετο καλὸς Ἄδωνις.
Αἰάζω τὸν Ἄδωνιν, ἐπαιάζουσιν Ἔρωτες.
Κεῖται καλὸς Ἄδωνις ἐπ' ὤρεσι, μηρὸν ὀδόντι
Λευκῷ λευκὸν ὀδόντι τυπεὶς, καὶ Κύπριν ἀνιῇ
Λεπτὸν ἀποψύχων· τὸ δέ οἱ μέλαν εἴβεται αἷμα
Χιονέας κατὰ σαρκός· ὑπ' ὀφρύσι δ' ὄμματα ναρκεῖ,
Καὶ τὸ ῥόδον φεύγει τῶ χείλεος· ἀμφὶ δὲ τήνῳ
Θνάσκει καὶ τὸ φίλαμα, τὸ μήποτε Κύπρις ἀφήσει.
Κύπριδι μὲν τὸ φίλαμα καὶ οὐ ζώοντος ἀρέσκει·
Ἀλλ' οὐκ εἶδεν Ἄδωνις ὅ μιν θνάσκοντ' ἐφίλασεν.
Αἰάζω τὸν Ἄδωνιν, ἐπαιάζουσιν Ἔρωτες.
Ἄγριον ἄγριον ἕλκος ἔχει κατὰ μηρὸν Ἄδωνις·
Μεῖζον δ' ἁ Κυθέρεια φέρει ποτικάρδιον ἕλκος.
Κεῖνον μὲν περὶ παῖδα φίλοι κύνες ὠρύσαντο,
Καὶ νύμφαι κλαίουσιν ὀρειάδες· ἁ δ' Ἀφροδίτα,

Λυσαμένα πλοκαμῖδας, ἀνὰ δρυμὼς ἀλάληται
Πενθαλέα, νήπλεκτος, ἀσάνδαλος· αἱ δὲ βάτοι νιν
Ἐρχομέναν κείροντι, καὶ ἱερὸν αἷμα δρέπονται.
Ὀξὺ δὲ κωκύοισα, δι' ἄγκεα μακρὰ φορεῖται,
Ἀσσύριον βοόωσα πόσιν, καὶ παῖδα καλεῦσα.
Ἀμφὶ δέ μιν μέλαν αἷμα παρ' ὀμφαλὸν ἠωρεῖτο,
Στήθεα δ' ἐκ μηρῶν φοινίσσετο· οἱ δ' ὑπομαζοὶ
Χιόνεοι τοπάροιθεν Ἀδώνιδι πορφύροντο.
Αἲ αἲ τὰν Κυθέρειαν, ἐπαιάζουσιν Ἔρωτες.
Ὤλεσε τὸν καλὸν ἄνδρα, συνώλεσεν ἱερὸν εἶδος.
Κύπριδι μὲν καλὸν εἶδος, ὅτε ζώεσκεν Ἄδωνις·
Κάτθανε δ' ἁ μορφὰ σὺν Ἀδώνιδι Κύπριδος, αἲ αἲ.
Ὤρεα πάντα λέγοντι καὶ αἱ δρύες, Αἲ τὸν Ἄδωνιν·
Καὶ ποταμοὶ κλαίουσι τὰ πένθεα τᾶς Ἀφροδίτας,
Καὶ παγαὶ τὸν Ἄδωνιν ἐν ὤρεσι δακρύοντι,
Ἄνθεα δ' ἐξ ὀδύνας ἐρυθραίνεται· ἁ δὲ Κυθήρη
Πάντας ἀνὰ κναμὼς καὶ ἀνὰ πόλιν οἰκτρὸν ἀείδει.
Αἲ αἲ τὰν Κυθέρειαν· Ἀπώλετο καλὸς Ἄδωνις.
Ἀχὼ δ' ἀντεβόασεν, Ἀπώλετο καλὸς Ἄδωνις·
Κύπριδος αἰνὸν ἔρωτα τίς οὐκ ἔκλαυσεν ἄν; Αἲ αἲ.
Ὡς ἴδεν, ὡς ἐνόησεν Ἀδώνιδος ἄσχετον ἕλκος,
Ὡς ἴδε φοίνιον αἷμα μαραινομένῳ περὶ μηρῷ,
Πάχεας ἀμπετάσασα κινύρετο, Μεῖνον Ἄδωνι,
Δύσποτμε μεῖνον Ἄδωνι, πανύστατον ὥς σε κιχείω,
Ὥς σε περιπτύξω, καὶ χείλεα χείλεσι μίξω.

Ἔγρεο



Ἔγρεο τυτθὸν Ἄδωνι, τὸ δ' αὖ πύματόν με φίλασον·
Τοσσοῦτόν με φίλασον, ὅσον ζώει τὸ φίλαμα·
Ἄχρις ἀπὸ ψυχῆς ἐς ἐμὸν στόμα κεὶς ἐμὸν ἧπαρ
Πνεῦμα τεὸν ῥεύσῃ, τὸ δὲ σεῦ γλυκὺ φίλτρον ἀμέλξω,
Ἐκ δὲ πίω τὸν ἔρωτα· φίλαμα δὲ τοῦτο φυλάξω
Ὡς αὐτὸν τὸν Ἄδωνιν· ἐπεὶ σύ με δύσμορε φεύγεις,
Φεύγεις μακρὸν Ἄδωνι, καὶ ἔρχεαι εἰς Ἀχέροντα,
Καὶ στυγνὸν βασιλῆα καὶ ἄγριον· ἁ δὲ τάλαινα
Ζώω, καὶ θεὸς ἐμμί, καὶ οὐ δύναμαί σε διώκειν.
Λάμβανε, Περσεφόνα, τὸν ἐμὸν πόσιν· ἐσσὶ γὰρ αὐτὰ
Πολλὸν ἐμεῦ κρείσσων· τὸ δὲ πᾶν καλὸν ἐς σὲ καταῤῥεῖ.
Εἰμὶ δ' ἐγὼ πανάποτμος, ἔχω δ' ἀκόρεστον ἀνίαν,
Καὶ κλαίω τὸν Ἄδωνιν, ὅ μοι θάνε, καί σε φοβεῦμαι.
Θνάσκεις, ὦ τριπόθατε· πόθος δέ μοι ὡς ὄναρ ἔπτη.
Χήρη δ' ἁ Κυθέρεια· κενοὶ δ' ἀνὰ δώματ' Ἔρωτες.
Σοὶ δ' ἅμα κεστὸς ὄλωλε· τί γὰρ τολμηρὲ κυνάγεις;
Καλὸς ἐὼν τοσσοῦτον ἐμήνας θηρσὶ παλαίειν;
Ὧδ' ὀλοφύρατο Κύπρις· ἐπαιάζουσιν Ἔρωτες.
Αἲ αἲ τὰν Κυθέρειαν· Ἀπώλετο καλὸς Ἄδωνις.
Δάκρυον ἁ Παφίη τόσσον ἐκχέει, ὅσσον Ἄδωνις
Αἷμα χέει· τὰ δὲ πάντα ποτὶ χθονὶ γίγνεται ἄνθη·
Αἷμα ῥόδον τίκτει, τὰ δὲ δάκρυα τὰν ἀνεμώναν.
Αἰάζω τὸν Ἄδωνιν· Ἀπώλετο καλὸς Ἄδωνις.
Μηκέτ' ἐνὶ δρυμοῖσι τὸν ἀνέρα μύρεο, Κύπρι·
Ἐς ἀγαθὰ στιβὰς, ἔστιν Ἀδώνιδι φυλλὰς ἑτοίμα.

 Λέκτρον

Λέκτρον ἔχει, Κυθέρεια, τὸ σὸν τόδε νεκρὸς Ἄδωνις·
Καὶ νέκυς ὢν καλός ἐστι, καλὸς νέκυς οἷα καθεύδων.
Κάτθεο καὶ μαλακοῖς ἐνὶ φάρεσιν οἷς ἐνίαυεν,
Τοῖς μετὰ σεῦ ἀνὰ νύκτα τὸν ἱερὸν ὕπνον ἐμόχθει,
Παγχρύσῳ κλιντῆρι· πόθει καὶ στυγνὸν Ἄδωνιν.
Βάλλε δ᾽ ἐνὶ στεφάνοισι καὶ ἄνθεσι· πάντα σὺν αὐτῷ,
Ὡς τῆνος τέθνακε, καὶ ἄνθεα πάντ᾽ ἐμαράνθη.
Ῥαῖνε δέ μιν μύρτοισιν, ἀλείφασι, ῥαῖνε μύροισι·
Ὀλλύθω μύρα πάντα· τὸ σὸν μύρον ὤλετ᾽ Ἄδωνις.
Κέκλιται ἁβρὸς Ἄδωνις ἐν εἵμασι πορφυρέοισιν·
Ἀμφὶ δέ μιν κλαίοντες ἀναστενάχουσιν Ἔρωτες,
Κειράμενοι χαίτας ἐπ᾽ Ἀδώνιδι· χὠ μὲν ὀϊστὼς,
Ὃς δ᾽ ἐπὶ τόξον ἔβαιν᾽, ὃς δ᾽ εὔπτερον ἆγε φαρέτραν·
Χὠ μὲν ἔλυσε πέδιλον Ἀδώνιδος, ὃς δὲ λέβησι
Χρυσείοις φορέησιν ὕδωρ, ὁ δὲ μηρία λούει·
Ὃς δ᾽ ὄπιθεν πτερύγεσσιν ἀναψύχει τὸν Ἄδωνιν.
Αὐτὰν τὰν Κυθέρειαν ἐπαιάζουσιν Ἔρωτες.
Ἔσβεσε λαμπάδα πᾶσαν ἐπὶ φλιαῖς Ὑμέναιος,
Καὶ στέφος ἐξεπέτασε γαμήλιον· οὐκέτι δ᾽ Ὑμὰν,
Ὑμὰν οὐκέτ᾽ ἀειδόμενον μέλος, ᾄδεται αἲ αἴ.
Αἲ αἲ καὶ τὸν Ἄδωνιν ἔτι πλέον, ἢ Ὑμέναιον.
Αἱ Χάριτες κλαίοντι τὸν υἱέα τῶ Κινύραο,
Ὤλετο καλὸς Ἄδωνις, ἐν ἀλλήλῃσι λέγοισαι·
Αὐταὶ δ᾽ ὀξὺ λέγοντι πολὺ πλέον ἢ τὺ, Διώνα.
Καὶ Μοῖραι τὸν Ἄδωνιν ἀνακλαίουσιν Ἄδωνιν,





Καί μιν ἐπαείδουσιν· ὁ δέ σφισιν οὐκ ἐπακούει,
Οὐ μὰν οὐκ ἐθέλει, κώρα δέ μιν οὐκ ἀπολύει.
Λῆγε γόων, Κυθέρεια, τὸ σήμερον ἴσχεο κώμων·
Δεῖ σε πάλιν κλαῦσαι, πάλιν εἰς ἔτος ἄλλο δακρῦσαι.

## Τοῦ αὐτοῦ

## Εἰδύλλιον β´.

Ἰξευτὰς ἔτι κῶρος, ἐν ἄλσεϊ δενδράεντι
Ὄρνεα θηρεύων, τὸν ἀπότροπον εἶδεν Ἔρωτα
Ἑσδόμενον πύξοιο ποτὶ κλάδον· ὡς δ᾽ ἐνόασε,
Χαίρων, ὥνεκα δὴ μέγα φαίνετο ὄρνεον αὐτῷ,
Τὼς καλάμως ἅμα πάντας ἐπ᾽ ἀλλάλοισι συνάπτων,
Τᾷ καὶ τᾷ τὸν Ἔρωτα μεταλμένον ἀμφεδόκευεν.
Χὠ παῖς ἀσχαλάων ἕνεκ᾽ οἱ τέλος οὐδὲν ἀπάντη,
Τὼς καλάμως ῥίψας ποτ᾽ ἀροτρέα πρέσβυν ἵκανεν,
Ὅς νιν τάνδε τέχναν ἐδιδάξατο, καὶ λέγεν αὐτῷ,
Καί οἱ δεῖξεν Ἔρωτα καθήμενον. αὐτὰρ ὁ πρέσβυς
Μειδιάων κίνησε κάρη, καὶ ἀμείβετο παῖδα,
Φείδεο τᾶς θήρας, μηδ᾽ ἐς τόδε τὤρνεον ἔρχευ.
Φεῦγε μακράν· κακόν ἐντι τὸ θηρίον· ὄλβιος ἔσσῃ,
Εἰσόκα μή μιν ἕλῃς· ἢν δ᾽ ἀνέρος ἐς μέτρον ἔλθῃς,
Οὗτος ὁ νῦν φεύγων καὶ ἀπάλμενος, αὐτὸς ἀφ᾽ αὐτῶ
Ἐλθὼν ἐξαπίνας, κεφαλὰν ἔπι σεῖο καθιξεῖ.

## Τοῦ αὐτοῦ

### Εἰδύλλιον γ'.

Α Μεγάλα μοι Κύπρις ἔθ' ὑπνώοντι παρέστα,
Νηπίαχον τὸν Ἔρωτα καλᾶς ἐκ χερὸς ἄγοισα,
Ἐς χθόνα νευστάζοντα· τόσον δέ μοι ἔφρασε μῦθον,
Μέλπειν μοι φίλε βοῦτα λαβὼν τὸν Ἔρωτα δίδασκε.
Ὣς λέγε, χ' ἁ μὲν ἀπῆλθεν· ἐγὼ δ' ὅσα βουκολίασδον,
Νήπιος, ὡς ἐθέλοντα μαθεῖν τὸν Ἔρωτα δίδασκον,
Ὡς εὗρε πλαγίαυλον ὁ Πὰν, ὡς αὐλὸν Ἀθάνα,
Ὡς χέλυν Ἑρμάων, κίθαριν δ' ὡς ἁδὺς Ἀπόλλων.
Ταῦτά μιν ἐξεδίδασκον· ὁ δ' οὐκ ἐμπάζετο μύθων,
Ἀλλά μοι αὐτὸς ἄειδεν ἐρωτύλα, καί μ' ἐδίδασκε
Θνατῶν ἀθανάτων τε πόθως, καὶ ματέρος ἔργα.
Κἠγὼν ἐκλαθόμαν μὲν ὅσων τὸν Ἔρωτα δίδασκον·
Ὅσα δ' Ἔρως κ' ἐδίδασκεν ἐρωτύλα, πάντ' ἐδιδάχθην.

ΜΟΥ-



# ΜΟΥΣΑΙΟΥ

## ΤΑ ΚΑΘ'

## ΗΡΩ καὶ ΛΕΑΝΔΡΟΝ.

ΕΙΠΕ, θεὰ, κρυφίων ἐπιμάρτυρα λύχνον ἐρώτων,
Καὶ νύχιον πλωτῆρα θαλασσοπόρων ὑμεναίων,
Καὶ γάμον ἀχλυόεντα, τὸν οὐκ ἴδεν ἄφθιτος ἠώς,
Καὶ Σηστὸν καὶ Ἄβυδον, ὅπῃ γάμος ἔννυχος Ἡροῦς.
Νηχόμενόν τε Λέανδρον ὁμοῦ καὶ λύχνον ἀκούω,
Λύχνον ἀπαγγέλλοντα διακτορίην Ἀφροδίτης,
Ἡροῦς νυκτιγάμοιο γαμοστόλον ἀγγελιώτην·
Λύχνον ἔρωτος ἄγαλμα, τὸν ὤφελεν αἰθέριος Ζεὺς
Ἐννύχιον μετ' ἄεθλον ἄγειν ἐς ὁμήγυριν ἄστρων,
Καί μιν ἐπικλῆσαι νυμφοστόλον ἄστρον ἐρώτων,
Ὅττι πέλε ξυνέριθος ἐρωμανέων ὀδυνάων,
Ἀγγελίην τ' ἐφύλαξεν ἀκοιμήτων ὑμεναίων,
Πρὶν χαλεπὸν πνοιῇσιν ἀήμεναι ἐχθρὸν ἀήτην.
Ἀλλ' ἄγε μοι μέλποντι μίαν συνάειδε τελευτὴν
Λύχνου σβεννυμένοιο καὶ ὀλλυμένοιο Λεάνδρου.
ΣΗΣΤΟΣ ἔην καὶ Ἄβυδος ἐναντίον· ἐγγύθι πόντου
Γείτονές εἰσι πόληες· Ἔρως δ' ἀνὰ τόξα τιταίνων
Ἀμφοτέρῃς πολίεσσιν ἕνα ξυνέηκεν ὀϊστὸν,
Ἠΐθεον φλέξας, καὶ παρθένον· οὔνομα δ' αὐτῶν,

Ἱμε-

SISMANOGLIO MEGARO

Ἱμερόεις τε Λέανδρος ἔην, καὶ παρθένος Ἡρώ.
Ἡ μὲν Σηστὸν ἔναιεν, ὁ δὲ πτολίεθρον Ἀβύδου.
Ἀμφοτέρων πολίων περικαλλέες ἀστέρες ἄμφω,
Εἴκελοι ἀλλήλοισι. σὺ δ' εἴποτε κεῖθι περήσεις,
Δίζεό μοι τινὰ πύργον, ὅπῃ ποτὲ Σηστιὰς Ἡρὼ
Ἵστατο λύχνον ἔχουσα, καὶ ἡγεμόνευε Λεάνδρῳ·
Δίζεο δ' ἀρχαίης ἁλιηχέα πορθμὸν Ἀβύδου
Εἰσέτι που κλαίοντα μόρον καὶ ἔρωτα Λεάνδρου.
Ἀλλὰ πόθεν Λείανδρος Ἀβυδόθι δώματα ναίων
Ἡροῦς ἐς πόθον ἦλθε, πόθῳ δ' ἐνέδησε καὶ αὐτήν;
Ἡρὼ μὲν χαρίεσσα διοτρεφὲς αἷμα λαχοῦσα,
Κύπριδος ἦν ἱέρεια· γάμων δ' ἀδίδακτος ἐοῦσα
Πύργον ἀπὸ προγόνων παρὰ γείτονι ναῖε θαλάσσῃ,
Ἄλλη Κύπρις ἄνασσα. σαοφροσύνῃ δὲ καὶ αἰδοῖ
Οὐδέποτ' ἀγρομένῃσι μεθωμίλησε γυναιξὶν,
Οὐδὲ χορὸν χαρίεντα μετήλυθεν ἥλικος ἥβης,
Μῶμον ἀλευομένη ζηλήμονα θηλυτεράων·
(Καὶ γὰρ ἐπ' ἀγλαΐῃ ζηλήμονές εἰσι γυναῖκες)
Ἀλλ' αἰεὶ Κυθέρειαν ἱλασκομένη Ἀφροδίτην,
Πολλάκι καὶ τὸν Ἔρωτα παρηγορέεσκε θυηλαῖς,
Μητρὶ σὺν οὐρανίῃ, φλογερὴν τρομέουσα φαρέτρην.
Ἀλλ' οὐδ' ὡς ἀλέεινε πυριπνείοντας ὀϊστούς.
Δὴ γὰρ Κυπριδίη πανδήμιος ἦλθεν ἑορτὴ,
Τὴν ἀνὰ Σηστὸν ἄγουσιν Ἀδώνιδι καὶ Κυθερείῃ·
Πανσυδίῃ δ' ἔσπευδον ἐς ἱερὸν ἦμαρ ἱκέσθαι

Ὅσσοι



Ὅσσοι ναιετάασκον ἁλιστεφέων σφυρὰ νήσων,
Οἱ μὲν ἀφ' Αἱμονίης, οἱ δ' εἰναλίης ἀπὸ Κύπρου.
Οὐδὲ γυνή τις ἔμιμνεν ἐνὶ πτολίεσσι Κυθήρων,
Οὐ Λιβάνου θυόεντος ἐνὶ πτερύγεσσι χορεύων·
Οὐδὲ περικτιόνων τις ἐλείπετο τῆμος ἑορτῆς,
Οὐ Φρυγίης ναέτης, οὐ γείτονος ἀστὸς Ἀβύδου,
Οὐδέ τις ἠϊθέων φιλοπάρθενος· ἦ γὰρ ἐκεῖνοι
Αἰὲν ὁμαρτήσαντες ὅπῃ φάτις ἐστὶν ἑορτῆς,
Οὐ τόσον ἀθανάτων ἀγέμεν σπεύδουσι θυηλὰς,
Ὅσσον ἀγειρομένων διὰ κάλλεα παρθενικάων.
Ἡ δὲ θεῆς ἀνὰ νηὸν ἐπῴχετο παρθένος Ἡρὼ,
Μαρμαρυγὴν χαρίεντος ἀπαστράπτουσα προσώπου,
Οἷά τε λευκοπάρηος ἐπαντέλλουσα σελήνη.
Ἄκρα δὲ χιονέων φοινίσσετο κύκλα παρειῶν,
Ὡς ῥόδον ἐκ καλύκων διδυμόχροον. ἦ τάχα φαίης
Ἡροῦς ἐν μελέεσσι ῥόδων λειμῶνα φανῆναι.
Χροιὴ γὰρ μελέων ἐρυθαίνετο· νισσομένης δὲ
Καὶ ῥόδα λευκοχίτωνος ὑπὸ σφυρὰ λάμπετο κούρης·
Πολλαὶ δ' ἐκ μελέων Χάριτες ῥέον. οἱ δὲ παλαιοὶ
Τρεῖς Χάριτας ψεύσαντο πεφυκέναι· εἷς δέ τις Ἡροῦς
Ὀφθαλμὸς γελόων ἑκατὸν Χαρίτεσσι τεθήλει.
Ἀτρεκέως ἱέρειαν ἐπάξιον εὕρατο Κύπρις.
Ὣς ἡ μὲν περὶ πολλὸν ἀριστεύουσα γυναικῶν
Κύπριδος ἀρήτειρα, νέη διεφαίνετο Κύπρις.
Δύσατο δ' ἠϊθέων ἁπαλὰς φρένας. οὐδέ τις ἀνδρῶν

D Ἣν

Ἤεν ὃς οὐ μενέαινεν ἔχειν ὁμοδέμνιον Ἡρώ.
Ἡ δ' ἄρα καλλιθέμεθλον ὅπῃ κατὰ νηὸν ἀλᾶτο,
Ἑσπόμενον νόον εἶχε καὶ ὄμματα καὶ φρένας ἀνδρῶν.
Καί τις ἐν ἠϊθέοισιν ἐθαύμασε, καὶ φάτο μῦθον,
Καὶ Σπάρτης ἐπέβην· Λακεδαίμονος ἔδρακον ἄστυ,
Ἧχι μόθον καὶ ἄεθλον ἀκούομεν ἀγλαϊάων·
Τοίην δ' οὔπω ὄπωπα νέην κεδνήν θ' ἁπαλήν τε.
Καὶ τάχα Κύπρις ἔχει Χαρίτων μίαν ὁπλοτεράων.
Παπταίνων ἐμόγησα, κόρον δ' οὐχ εὗρον ὀπωπῆς.
Αὐτίκα τεθναίην λεχέων ἐπιβήμενος Ἡροῦς.
Οὐκ ἂν ἐγὼ κατ' Ὄλυμπον ἐφιμείρω θεὸς εἶναι,
Ἡμετέρην παράκοιτιν ἔχων ἐνὶ δώμασιν Ἡρώ.
Εἰ δέ μοι οὐκ ἐπέοικε τεὴν ἱέρειαν ἀφάσσειν,
Τοίην μοι, Κυθέρεια, νέην παράκοιτιν ὀπάσσαις.
Τοῖα μὲν ἠϊθέων τις ἐφώνεεν· ἄλλοθεν ἄλλος
Ἕλκος ὑποκλέπτων ἐπεμήνατο κάλλεϊ κούρης.
Αἰνοπαθὲς Λείανδρε, σὺ δ' ὡς ἴδες εὐκλέα κούρην,
Οὐκ ἔθελες κρυφίοισι κατατρύχειν φρένα κέντροις·
Ἀλλὰ πυριπνεύστοισι δαμεὶς ἀδόκητον ὀϊστοῖς,
Οὐκ ἔθελες ζώειν περικαλλέος ἄμμορος Ἡροῦς.
Σὺν βλεφάρων ἀκτῖσιν ἀέξετο πυρσὸς ἐρώτων,
Καὶ κραδίη πάφλαζεν ἀνικήτου πυρὸς ὁρμῇ.
Κάλλος γὰρ περίπυστον ἀμωμήτοιο γυναικὸς
Ὀξύτερον μερόπεσσι πέλει πτερόεντος ὀϊστοῦ.
Ὀφθαλμὸς δ' ὁδός ἐστιν· ἀπ' ὀφθαλμοῖο βολάων

Ἕλκος



Ἕλκος ὀλισθαίνει, καὶ ἐπὶ φρένας ἀνδρὸς ὁδεύει.
Εἷλε δέ μιν τότε θάμβος, ἀναιδείη, τρόμος, αἰδώς.
Ἔτρεμε μὲν κραδίην, αἰδὼς δέ μιν εἶχεν ἁλῶναι·
Θάμβεε δ' εἶδος ἄριστον, ἔρως δ' ἀπενόσφισεν αἰδῶ.
Θαρσαλέως δ' ὑπ' ἔρωτος ἀναιδείην ἀγαπάζων,
Ἠρέμα ποσσὶν ἔβαινε, καὶ ἀντίον ἵστατο κούρης·
Λοξὰ δ' ὀπιπεύων δολερὰς ἐλέλιξεν ὀπωπάς,
Νεύμασιν ἀφθόγγοισι παραπλάζων φρένα κούρης.
Αὐτὴ δ' ὡς ξυνέηκε πόθον δολόεντα Λεάνδρου,
Χαῖρεν ἐπ' ἀγλαΐῃσιν· ἐν ἡσυχίῃ δὲ καὶ αὐτὴ
Πολλάκις ἱμερόεσσαν ἑὴν ἀπέκρυψεν ὀπωπήν,
Νεύμασι λαθριδίοισιν ἐπαγγελέουσα Λεάνδρῳ,
Καὶ πάλιν ἀντέκλινεν. ὁ δ' ἔνδοθι θυμὸν ἰάνθη,
Ὅτι πόθον ξυνέηκε, καὶ οὐκ ἀπεσείσατο κούρη.
Ὄφρα μὲν οὖν Λείανδρος ἐδίζετο λάθριον ὥρην,
Φέγγος ἀναστείλασα κατήϊεν ἐς δύσιν ἠώς·
Ἐκ περάτης δ' ἀνέφαινε βαθύσκιος ἕσπερος ἀστήρ.
Αὐτὰρ ὁ θαρσαλέως μετεκίαθεν ἐγγύθι κούρης,
Ὡς ἴδε κυανόπεπλον ἐπιθρώσκουσαν ὀμίχλην,
Ἠρέμα μὲν θλίβων ῥοδοειδέα δάκτυλα κούρης,
Βυσσόθεν ἐστονάχιζεν ἀθέσφατον. ἡ δὲ σιωπῇ
Οἷά τε χωομένη ῥοδέην ἐξέσπασε χεῖρα.
Ὡς δ' ἐρατῆς ἐνόησε χαλίφρονα νεύματα κούρης,
Θαρσαλέως παλάμῃ πολυδαίδαλον εἷλκε χιτῶνα,
Ἔσχατα τιμήεντος ἄγων ἐπὶ κεύθεα νηοῦ.

 Ὀκνα-

Ὀκναλέοις δὲ πόδεσσιν ἐφέσπετο παρθένος Ἡρὼ,
Οἷά περ οὐκ ἐθέλουσα· τοίην δ᾽ ἀνενείκατο φωνήν,
Θηλυτέροις ἐπέεσσιν ἀπειλείουσα Λεάνδρῳ,
Ξεῖνε, τί μαργαίνεις; τί με δύσμορε παρθένον ἕλκεις;
Ἄλλην δεῦρο κέλευθον· ἐμὸν δ᾽ ἀπόλειπε χιτῶνα·
Μῆνιν ἐμῶν ἀπόειπε πολυκτεάνων γενετήρων.
Κύπριδος οὔ σοι ἔοικε θεῆς ἱέρειαν ἀφάσσειν,
Παρθενικῆς ἐπὶ λέκτρον ἀμήχανόν ἐστιν ἱκέσθαι.
Τοῖα μὲν ἠπείλησεν ἐοικότα παρθενικῇσιν.
Θηλείης δὲ Λέανδρος ἐπεὶ κλύεν οἶστρον ἀπειλῆς,
Ἔγνω πειθομένων σημήϊα παρθενικάων.
(Καὶ γὰρ ὅτ᾽ ἠιθέοισιν ἀπειλείουσι γυναῖκες,
Πλαζομένης κραδίης αὐτάγγελοί εἰσιν ἀπειλαί.)
Παρθενικῆς δ᾽ εὔοδμον ἐΰχροον αὐχένα κύσας,
Τοῖον μῦθον ἔειπε, πόθου βεβολημένος οἴστρῳ,
Κύπρι φίλη μετὰ Κύπριν, Ἀθηναίη μετ᾽ Ἀθήνην,
(Οὐ γὰρ ἐπιχθονίῃσιν ἴσην καλέω σε γυναιξὶν,
Ἀλλά σε θυγατέρεσσι Διὸς Κρονίωνος ἐΐσκω)
Ὄλβιος ὅς σ᾽ ἐφύτευσε, καὶ ὀλβίη ἣ τέκε μήτηρ·
Γαστὴρ, ἥ σ᾽ ἐλόχευσε, μακαρτάτη· ἀλλὰ λιταίων
Ἡμετέρων ἐπάκουε, πόθου δ᾽ οἴκτειρον ἀνάγκην.
Κύπριδος ὡς ἱέρεια, φυλάσσεο Κύπριδος ὀργήν.
Δεῦρ᾽ ἴθι, μυστιπόλευε γαμήλια θεσμὰ θεαίνης·
Παρθένον οὐκ ἐπέοικεν ὑποδρήσσειν Ἀφροδίτῃ·
Παρθενικαῖς οὐ Κύπρις ἰαίνεται. ἢν δ᾽ ἐθελήσῃς

Θεσμὰ



Θεσμὰ θεῆς ἐρόεντα καὶ ὄργια πιστὰ δαῆναι,
Ἔστι γάμος καὶ λέκτρα. σὺ δ᾽ εἰ φιλέεις Κυθέρειαν,
Θελξινόων ἀγάπαζε μελίφρονα θεσμὸν ἐρώτων·
Σὸν δ᾽ ἱκέτην με κόμιζε, καὶ, ἢν ἐθέλῃς, παρακοίτην,
Τόν σοι Ἔρως ἤγρευσεν ἑοῖς βελέεσσι κιχήσας·
Ὡς θρασὺν Ἡρακλῆα θοὸς χρυσόρραπις Ἑρμῆς
Θητεύειν ἐκόμιζεν Ἰαρδανίῃ ποτὶ νύμφῃ.
Σοὶ δέ με Κύπρις ἔπεμπε, καὶ οὐ σοφὸς ἤγαγεν Ἑρμῆς.
Παρθένος οὔ σε λέληθεν ἀπ᾽ Ἀρκαδίης Ἀταλάντη,
Ἥ ποτε Μειλανίωνος ἐρασσαμένη φύγεν εὐνὴν
Παρθενίης ἀλέγουσα· χολωσαμένης δ᾽ Ἀφροδίτης,
Τὸν πάρος οὐκ ἐπόθησεν, ἐνὶ κραδίῃ θέτο πάσῃ.
Πείθεο καὶ σὺ φίλη, μὴ Κύπριδι μῆνιν ἐγείρῃς.
Ὣς εἰπὼν, παρέπεισεν ἀναινομένης φρένα κούρης,
Θυμὸν ἐρωτοτόκοισι παραπλάγξας ἐνὶ μύθοις.
Παρθενικὴ δ᾽ ἄφθογγος ἐπὶ χθόνα πῆξεν ὀπωπὴν,
Αἰδοῖ ἐρυθιόωσαν ὑποκλέπτουσα παρειὴν,
Καὶ χθονὸς ἔξεεν ἄκρον ἐπ᾽ ἴχνεσιν· αἰδομένη δὲ
Πολλάκις ἀμφ᾽ ὤμοισιν ἑὸν ξυνέεργε χιτῶνα.
Πειθοῦς γὰρ τάδε πάντα προάγγελα· παρθενικῆς δὲ
Πειθομένης ἀναφανδὸν ὑπόσχεσίς ἐστι σιωπή.
Ἤδη καὶ γλυκύπικρον ἐδέξατο κέντρον ἐρώτων,
Θέρμετο δὲ κραδίην γλυκερῷ πυρὶ παρθένος Ἡρὼ,
Κάλλεϊ δ᾽ ἱμερόεντος ἀνεπτοίητο Λεάνδρου.
Ὄφρα μὲν οὖν ποτὶ γαῖαν ἔχεν νεύουσαν ὀπωπὴν,

Τόφρα

Τόφρα δὲ καὶ Λείανδρος ἐρωμανέεσσι προσώποις
Οὐ κάμεν εἰσορόων ἁπαλόχροον αὐχένα κούρης.
Ὀψὲ δὲ Λειάνδρῳ γλυκερὴν ἀνενείκατο φωνὴν,
Αἰδοῦς ὑγρὸν ἔρευθος ἀποστάζουσα προσώπου,

Ξεῖνε, τεοῖς ἐπέεσσι τάχ' ἂν καὶ πέτρον ὀρίναις.
Τίς σε πολυπλανέων ἐπέων ἐδίδαξε κελεύθους;
Οἴ μοι, τίς σ' ἐκόμισεν ἐμὴν ἐς πατρίδα γαῖαν;
Ταῦτα δὲ πάντα μάτην ἐφθέγξαο· πῶς γὰρ ἀλήτης
Ξεῖνος ἐὼν καὶ ἄπιστος ἐμῇ φιλότητι μιγείης;
Ἀμφαδὸν οὐ δυνάμεσθα γάμοις ὁσίοισι πελάσσαι·
Οὐ γὰρ ἐμοῖς τοκέεσσιν ἐπεύαδεν. ἢν δ' ἐθελήσῃς
Ὡς ξεῖνος πολύφοιτος ἐμὴν ἐς πατρίδα μίμνειν,
Οὐ δύνασαι σκοτόεσσαν ὑποκλέπτειν Ἀφροδίτην.
Γλῶσσα γὰρ ἀνθρώπων φιλοκέρτομος· ἐν δὲ σιωπῇ
Ἔργον ὅπερ τελέει τις, ἐνὶ τριόδοισιν ἀκούει.
Εἰπὲ δὲ (μὴ κρύψῃς) τεὸν οὔνομα, καὶ σέο πάτρην,
Οὐ γὰρ ἐμόν σε λέληθεν· ἐμοὶ δ' ὄνομα κλυτὸν, Ἡρώ.
Πύργος δ' ἀμφιβόητος, ἐμὸς δόμος οὐρανομήκης,
Ὧ ἔνι ναιετάουσα σὺν ἀμφιπόλῳ τινὶ μούνη,
Σηστιάδος πρὸ πόληος ὑπὲρ βαθυκύμονας ὄχθας,
Γείτονα πόντον ἔχω, στυγεραῖς βουλῇσι τοκήων.
Οὐδέ μοι ἐγγὺς ἔασιν ὁμήλικες, οὐδὲ χορεῖαι
Ἠϊθέων παρέασιν· ἀεὶ δ' ἀνὰ νύκτα καὶ ἠῶ
Ἐξ ἁλὸς ἠνεμόεντος ἐπιβρέμει οὔασιν ἠχή.

Ὣς φαμένη, ῥοδέην ὑπὸ φάρεϊ κρύπτε παρειὴν,

Ἔμπα-

SISMANOGLIO MEGARO



Ἔμπαλιν αἰδομένη, σφετέροις δ' ἐπεμέμφετο μύθοις.
Λείανδρος δὲ πόθου βεβολημένος ὀξέϊ κέντρῳ,
Φράζετο πῶς κεν Ἔρωτος ἀεθλεύσειεν ἀγῶνα.
Ἄνδρα γὰρ αἰολόμητις Ἔρως βελέεσσι δαμάζει,
Καὶ πάλιν ἀνέρος ἕλκος ἀκέσσεται. οἷσι δ' ἀνάσσει,
Αὐτὸς ὁ πανδαμάτωρ βουληφόρος ἐστὶ βροτοῖσιν.
Αὐτὸς καὶ ποθέοντι τότε χραίσμησε Λεάνδρῳ.
Ὀψὲ δ' ἀλαστήσας πολυμήχανον ἔννεπε μῦθον,

Παρθένε, σὸν δι' ἔρωτα καὶ ἄγριον οἶδμα περήσω,
Εἰ πυρὶ παφλάζοιτο, καὶ ἄπλοον ἔσσεται ὕδωρ.
Οὐ τρομέω βαρὺ χεῦμα τεὸν μετανεύμενος οἶκον,
Οὐ βρόμον ἠχήεντα βαρυγδούποιο θαλάσσης·
Ἀλλ' αἰεὶ κατὰ νύκτα φορεύμενος ὑγρὸς ἀκοίτης
Νήξομαι Ἑλλήσποντον ἀγάρροον· οὐχ ἑκάθεν γὰρ
Ἀντία σεῖο πόληος ἔχω πτολίεθρον Ἀβύδου.
Μοῦνον ἐμοὶ ἕνα λύχνον ἀπ' ἠλιβάτου σέο πύργου
Ἐκ περάτης ἀνάφαινε κατὰ κνέφας· ὄφρα νοήσας
Ἔσσομαι ὁλκὰς Ἔρωτος, ἔχων σέθεν ἀστέρα λύχνον,
Καί μιν ὀπιπεύων, οὐκ ὄψομαι δύοντα Βοώτην,
Οὐ θρασὺν Ὠρίωνα, καὶ ἄβροχον ὁλκὸν Ἁμάξης,
Πατρίδος ἀντιπόροιο ποτὶ γλυκὺν ὅρμον ἱκοίμην.
Ἀλλὰ φίλη πεφύλαξο βαρυπνείοντας ἀήτας,
Μή μιν ἀποσβέσσωσι, καὶ αὐτίκα θυμὸν ὀλέσσω,
Λύχνον ἐμοῦ βιότοιο φαεσφόρον ἡγεμονῆα.
Εἰ ἐτεὸν δ' ἐθέλεις ἐμὸν οὔνομα καὶ σὺ δαῆναι,

Οὔνο-

Οὔνομά μοι Λείανδρος, ἐϋστεφάνου πόσις Ἡροῦς.
Ὣς οἱ μὲν κρυφίοισι γάμοις συνέθεντο μιγῆναι,
Καὶ νυχίην φιλότητα καὶ ἀγγελίην ὑμεναίων
Λύχνου μαρτυρίῃσιν ἐπιστώσαντο φυλάξειν·
Ἡ μὲν φάος τανύειν, ὁ δὲ κύματα μακρὰ περῆσαι.
Παννυχίδας δ' ἀνύσαντες ἀκοιμήτων ὑμεναίων,
Ἀλλήλων ἀέκοντες ἐνοσφίσθησαν ἀνάγκῃ,
Ἡ μὲν ἑὸν ποτὶ πύργον, ὁ δ' ὀρφναίην ἀνὰ νύκτα,
Μή τι παραπλάζοιτο, βαλὼν σημήια πύργου,
Πλῶε βαθυκρήπιδος ἐπ' εὐρέα δῆμον Ἀβύδου·
Παννυχίων δ' ὀάρων κρυφίους ποθέοντες ἀέθλους,
Πολλάκις ἠρήσαντο μολεῖν θαλαμηπόλον ὄρφνην.
Ἤδη κυανόπεπλος ἀνέδραμε νυκτὸς ὀμίχλη,
Ἀνδράσιν ὕπνον ἄγουσα, καὶ οὐ ποθέοντι Λεάνδρῳ·
Ἀλλὰ πολυφλοίσβοιο παρ' ἠϊόνεσσι θαλάσσης
Ἀγγελίην ἀνέμιμνε φαεινομένων ὑμεναίων,
Μαρτυρίην λύχνοιο πολυκλαύστοιο δοκεύων,
Εὐνῆς τε κρυφίης τηλεσκόπον ἀγγελιώτην.
Ὡς δ' ἴδε κυανέης λιποφεγγέα νυκτὸς ὀμίχλην
Ἡρὼ λύχνον ἔφαινεν· ἀναπτομένοιο δὲ λύχνου,
Θυμὸν Ἔρως ἔφλεξεν ἐπειγομένοιο Λεάνδρου.
Λύχνῳ καιομένῳ συνεκαίετο· πὰρ δὲ θαλάσσῃ
Μαινομένων ῥοθίων πολυηχέα βόμβον ἀκούων,
Ἔτρεμε μὲν τοπρῶτον, ἔπειτα δὲ θάρσος ἀείρας,
Τοίσισι προσελέκτο παρηγορέων φρένα μύθοις,

Δεινὸς



Δεινὸς Ἔρως καὶ πόντος ἀμείλιχος· ἀλλὰ θαλάσσης
Ἐστὶν ὕδωρ, τὸ δ' Ἔρωτος ἐμὲ φλέγει ἐνδόμυχον πῦρ.
Λάζεο πῦρ κραδίη, μὴ δείδιθι νήχυτον ὕδωρ,
Δεῦρό μοι εἰς φιλότητα. τί δὴ ῥοθίων ἀλεγίζεις;
Ἀγνώσσεις ὅτι Κύπρις ἀπόσπορός ἐστι θαλάσσης,
Καὶ κρατέει πόντοιο, καὶ ἡμετέρων ὀδυνάων;
Ὣς εἰπὼν, μελέων ἐρατῶν ἀπεδύσατο πέπλον
Ἀμφοτέρης παλάμῃσιν, ἑῷ δ' ἔσφιγξε καρήνῳ·
Ἠϊόνος δ' ἐξῶρτο, δέμας δ' ἔρριψε θαλάσσῃ,
Λαμπομένου δ' ἔσπευδεν ἀεὶ κατεναντία λύχνου,
Αὐτὸς ἐὼν ἐρέτης, αὐτόστολος, αὐτόματος νηῦς.
Ἡρὼ δ' ἠλιβάτοιο φαεσφόρος ὑψόθι πύργου,
Λευγαλέης αὔρῃσιν ὅθεν πνεύσειεν ἀήτης,
Φάρεϊ πολλάκι λύχνον ἐπέσκεπεν, εἰσόκε Σηστοῦ
Πολλὰ καμὼν Λείανδρος ἔβη ποτὶ ναύλοχον ἀκτήν.
Καί μιν ἑὸν ποτὶ πύργον ἀνήγαγεν· ἐκ δὲ θυράων
Νυμφίον ἀθμαίνοντα περιπλέξασα σιωπῇ,
Ἀφροκόμους ῥαθάμιγγας ἔτι στάζοντα θαλάσσης,
Ἤγαγε νυμφοκόμοιο μυχοὺς ἔπι παρθενεῶνος,
Καὶ χρόα πάντα κάθηρε, δέμας δ' ἔχρισεν ἐλαίῳ
Εὐόδμῳ, ῥοδέῳ, καὶ ἁλίπνοον ἔσβεσεν ὀδμήν.
Εἰσέτι δ' ἀθμαίνοντα βαθυστρώτοις ἐνὶ λέκτροις
Νυμφίον ἀμφιχυθεῖσα φιλήνορας ἴαχε μύθους,
Νυμφίε, πολλὰ μόγησας, ἃ μὴ πάθε νυμφίος ἄλλος.
Νυμφίε, πολλὰ μόγησας· ἅλις νύ τοι ἁλμυρὸν ὕδωρ,



Ὀδμή

Ὀδμή τ' ἰχθυόεσσα βαρυγδούποιο θαλάσσης·
Δεῦρο, τεὴν γαμέτην μ' ἐπιδέχνυσο καὶ παράκοιτιν.
Ὣς ἡ μὲν τοῦτ' εἶπεν· ὁ δ' ἄσμενος ἤγαγε κούρην.
Ἦν γάμος, ἀλλ' ἀχόρευτος· ἔην λέχος, ἀλλ' ἄτερ ὕμνων,
Οὐ Ζυγίην ἱερήν τις ἐπευφήμησεν ἀοιδὸς,
Οὐ δαΐδων ἤστραπτε σέλας θαλαμηπόλον εὐνὴν,
Οὐδὲ πολυσκάρθμῳ τὶς ἐπεσκίρτησε χορείῃ,
Οὐχ ὑμέναιον ἄεισε πατὴρ καὶ πότνια μήτηρ·
Ἀλλὰ λέχος στορέσασα τελεσσιγάμοισιν ἐν ὥραις
Σιγὴ παστὸν ἔπηξεν, ἐνυμφοκόμησε δ' ὀμίχλη,
Καὶ γάμος ἦν ἀπάνευθεν ἀειδομένων ὑμεναίων.
Νὺξ μὲν ἔην κείνοισι γαμοστόλος· οὐδέποτ' ἠὼς
Νυμφίον εἶδε Λέανδρον ἀριγνώτοις ἐνὶ λέκτροις.
Νήχετο δ' ἀντιπόροιο πάλιν ποτὶ δῆμον Ἀβύδου.
Ἡρὼ δ' ἑλκεσίπεπλος ἑοὺς λήθουσα τοκῆας,
Παρθένος ἠματίη, νυχίη γυνή. ἀμφότεροι δὲ
Πολλάκις ἠρήσαντο κατελθέμεν ἐς δύσιν ἠῶ.
Ὣς οἱ μὲν φιλότητος ὑποκλέπτοντες ἀνάγκην,
Παυρίδιον ζώεσκον ἐπὶ χρόνον, οὐδ' ἐπὶ δηρὸν
Κρυπτόμενοι ἀπόναντο πολυπλάγκτων ὑμεναίων.
Δὴ γὰρ παχνήεντος ἐπήλυθε χείματος ὥρη
Φρικαλέας δονέουσα πολυστροφάλιγγας ἀέλλας,
Βένθεα δ' ἀστήρικτα καὶ ὑγρὰ θέμεθλα θαλάσσης
Χειμέριοι πνείοντες ἀεὶ στυφέλιζον ἀῆται,
Λαίλαπι μαστίζοντες ὅλην ἅλα· τυπτομένης δὲ

Ἤδη



Ἤδη νῆα μέλαιναν ἀπέκλασε διχθάδι χέρσῳ
Χειμερίην καὶ ἄπιστον ἀλυσκάζων ἅλα ναύτης.
Ἀλλ' οὐ χειμερίης σε φόβος κατέρυκε θαλάσσης,
Καρτερόθυμε Λέανδρε· διακτορίη δέ σε πύργου,
Ἠθάδα σημαίνουσα φαεσφορίην ὑμεναίων,
Μαινομένης ὤτρυνεν ἀφειδήσαντα θαλάσσης,
Νηλειὴς καὶ ἄπιστος. ὄφειλε δὲ δύσμορος Ἡρὼ,
Χείματος ἱσταμένοιο, μένειν ἀπάνευθε Λεάνδρου,
Μηκέτ' ἀναπτομένη μινυώριον ἀστέρα λέκτρων.
Ἀλλὰ πόθος καὶ μοῖρα βιήσατο· θελγομένη δὲ
Μοιράων ἀνέφαινε καὶ οὐκέτι δαλὸν Ἐρώτων.
Νὺξ ἦν, εὖτε μάλιστα βαρυπνείοντες ἀῆται,
Χειμερίης πνοιῇσιν ἀκοντίζοντες ἀῆται,
Ἀθρόον ἐμπίπτουσιν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Δὴ τότε Λείανδρός περ ἐθήμονος ἐλπίδι νύμφης
Δυσκελάδων πεφόρητο θαλασσαίων ἐπὶ νώτων.
Ἤδη κύματι κῦμα κυλίνδετο, σύγχυτο δ' ὕδωρ,
Αἰθέρι μίσγετο πόντος· ἀνέγρετο πάντοθεν ἠχὴ
Μαρναμένων ἀνέμων· ζεφύρῳ δ' ἀντέπνεεν εὖρος,
Καὶ νότος ἐς βορέην μεγάλας ἀφέηκεν ἀπειλάς·
Καὶ κτύπος ἦν ἀλίαστος ἐρισμαράγοιο θαλάσσης.
Αἰνοπαθὴς δὲ Λέανδρος ἀκηλήτοις ἐνὶ δίναις
Πολλάκι μὲν λιτάνευσε θαλασσαίην Ἀφροδίτην,
Πολλάκι δ' αὐτὸν ἄνακτα Ποσειδάωνα θαλάσσης·
Ἀτθίδος οὐ Βορέην ἀμνήμονα κάλλιπε νύμφης.

 Ἀλλά

Ἀλλά οἱ οὔτις ἄρηγεν. Ἔρως δ' οὐκ ἤρκεσε Μοίρας.
Πάντοθι δ' ἀγρομένοιο δυσαντέϊ κύματος ὁρμῇ
Τυπτόμενος πεφόρητο· ποδῶν δέ οἱ ὤκλασεν ὁρμή,
Καὶ σθένος ἦν ἀδόνητον ἀκοιμήτων παλαμάων.
Πολλὴ δ' αὐτόματος χύσις ὕδατος ἔρρεε λαιμῷ,
Καὶ ποτὸν ἀχρήϊστον ἀμαιμακέτου πίεν ἅλμης·
Καὶ δὴ λύχνον ἄπιστον ἀπέσβεσε πικρὸς ἀήτης,
Καὶ ψυχὴν καὶ ἔρωτα πολυτλήτοιο Λεάνδρου.
Ἡ δ' ἔτι δηθύνοντος ἐπ' ἀγρύπνοισιν ὀπωπαῖς
Ἵστατο, κυμαίνουσα πολυκλαύστοισι μερίμναις.
Ἤλυθε δ' ἠριγένεια, καὶ οὐκ ἴδε νυμφίον Ἡρώ.
Πάντοθι δ' ὄμμα τίταινεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
Εἴπου ἐσαθρήσειεν ἀλώμενον ὃν παρακοίτην
Λύχνου σβεννυμένοιο. Παρὰ κρηπῖδα δὲ πύργου
Θρυπτόμενον σπιλάδεσσιν ὅτ' ἔδρακε νεκρὸν ἀκοίτην,
Δαιδαλέον ῥήξασα περὶ στήθεσσι χιτῶνα,
Ῥοιζηδὸν προκάρηνος ἀπ' ἠλιβάτου πέσε πύργου.
Κὰδ δ' Ἡρὼ τέθνηκε σὺν ὀλλυμένῳ παρακοίτῃ·
Ἀλλήλων δ' ἀπόναντο καὶ ἐν πυμάτῳ περ ὀλέθρῳ.

ΠΥΘΑ-



# ΠΥΘΑΓΟΡΟΥ
## ΧΡΥΣΑ ΕΠΗ.

ΑΘΑΝΑΤΟΥΣ μὲν πρῶτα θεούς, νόμῳ ὡς διάκειται,
Τίμα, καὶ σέβου ὅρκον· ἔπειθ' ἥρωας ἀγαυούς,
Τούς τε καταχθονίους σέβε δαίμονας, ἔννομα ῥέζων.
Τούς τε γονεῖς τίμα, τούς τ' ἄγχιστ' ἐκγεγαῶτας.
Τῶν δ' ἄλλων ἀρετῇ ποιεῦ φίλον ὅστις ἄριστος.
Πραέσι δ' εἶκε λόγοις ἔργοισί τ' ἐπωφελίμοισι.
Μηδ' ἔχθαιρε φίλον σὸν ἁμαρτάδος εἵνεκα μικρῆς,
Ὄφρα δύνῃ· δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.
Ταῦτα μὲν οὕτως ἴσθι. κρατεῖν δ' εἰθίζεο τῶνδε,
Γαστρὸς μὲν πρώτιστα, καὶ ὕπνου, λαγνείης τε,
Καὶ θυμοῦ. πρήξῃς δ' αἰσχρόν ποτε μήτε μετ' ἄλλου,
Μήτ' ἰδίῃ· πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.
Εἶτα δικαιοσύνην ἄσκει, ἔργῳ τε λόγῳ τε.
Μηδ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε·
Ἀλλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅπασι·
Χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φιλεῖ, ἄλλοτ' ὀλέσθαι.
Ὅσσά τε δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν,
Ὧν ἂν μοῖραν ἔχῃς, πρᾴως φέρε, μηδ' ἀγανάκτει.
Ἰᾶσθαι δὲ πρέπει, καθόσον δύνῃ, ὧδε δὲ φράζευ.
Οὐ πάνυ τοῖς ἀγαθοῖς τούτων πολὺ μοῖρα δίδωσι.
Πολλοὶ δ' ἀνθρώποισι λόγοι δειλοί τε καὶ ἐσθλοὶ

Προσ-

Προσπίπτει· ὧν μήτ᾽ ἐκπλήσσεο, μήτ᾽ ἄρ᾽ ἐάσῃς
Εἴργεσθαι σαυτόν. ψεῦδος δ᾽ ἤν πέρ τι λέγηται,
Πράως ἴσχ᾽. ὃ δέ τοι ἐρέω, ἐπὶ παντὶ τελείσθω·
Μηδεὶς μήτε λόγῳ σε παρείπῃ μήτε τι ἔργῳ,
Πρῆξαι μηδ᾽ εἰπεῖν ὅ, τι τοι μὴ βέλτερόν ἐστι.
Βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μωρὰ πέληται.
Δειλοῦ τοι πρήσσειν τε λέγειν τ᾽ ἀνόητα πρὸς ἀνδρός.
Ἀλλὰ τάδ᾽ ἐκτελέειν ἅ σε μὴ μετέπειτ᾽ ἀνιήσῃ.
Πρῆσσε δὲ μηδὲν τῶν μὴ ᾽πίστασαι, ἀλλὰ διδάσκου
Ὅσα χρεών· καὶ τερπνότατον βίον ὧδε διάξεις.
Οὐδ᾽ ὑγιείης τῆς περὶ σῶμ᾽ ἀμέλειαν ἔχειν χρή,
Ἀλλὰ ποτοῦ τε μέτρον καὶ σίτου γυμνασίων τε
Ποιεῖσθαι· μέτρον δὲ λέγω τόδ᾽ ὃ μή σ᾽ ἀνιήσῃ.
Εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον, ἄθρυπτον·
Καὶ πεφύλαξό γε ταῦτα ποιεῖν ὁπόσα φθόνον ἴσχει.
Μὴ δαπανᾶν παρὰ καιρὸν, ὁποῖα καλῶν ἀδαήμων·
Μηδ᾽ ἀνελεύθερος ἴσθι. μέτρον δ᾽ ἐπὶ πᾶσιν ἄριστον.
Πρῆσσε δὲ ταῦθ᾽ ἅ σε μὴ βλάψῃ· λόγισαι δὲ πρὸ ἔργου.
Μηδ᾽ ὕπνον μαλακοῖσιν ἐπ᾽ ὄμμασι προσδέξασθαι,
Πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν·
Πῆ παρέβην; τί δ᾽ ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
Ἀρξάμενος δ᾽ ἀπὸ πρώτου ἐπέξιθι· καὶ μετέπειτα,
Δειλὰ μὲν ἐκπρήξας, ἐπιπλήσσεο· χρηστὰ δὲ, τέρπου.
Ταῦτα πόνει, ταῦτ᾽ ἐκμελέτα· τούτων χρὴ ἐρᾶν σε.
Ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει,

Ναὶ



Ναὶ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτὺν
Παγὰν ἀενάου φύσεως. ἀλλ᾽ ἔρχευ ἐπ᾽ ἔργον,
Θεοῖσιν ἐπευξάμενος τελέσαι. τούτων δὲ κρατήσας,
Γνώσῃ ἀθανάτων τε θεῶν θνητῶν τ᾽ ἀνθρώπων
Σύστασιν, ᾗ τε ἕκαστα διέρχεται, ᾗ τε κρατεῖται.
Γνώσῃ δ᾽, ἣ θέμις ἐστὶ, φύσιν περὶ παντὸς ὁμοίην·
Ὥστε σε μήτε ἄελπτ᾽ ἐλπίζειν, μήτε τι λήθειν.
Γνώσῃ δ᾽ ἀνθρώπους αὐθαίρετα πήματ᾽ ἔχοντας·
Τλήμονες, οἵτ᾽ ἀγαθῶν πέλας ὄντων οὐκ ἐσορῶσιν,
Οὔτε κλύουσι. λύσιν δὲ κακῶν παῦροι συνίσασι.
Τοίη μοῖρα βροτῶν βλάπτει φρένας· οἱ δὲ κυλίνδροις
Ἄλλοτ᾽ ἐπ᾽ ἄλλα φέρονται, ἀπείρονα πήματ᾽ ἔχοντες.
Λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθεν
Σύμφυτος, ἣν οὐ δεῖ προάγειν, εἴκοντα δὲ φεύγειν.
Ζεῦ πάτερ, ἦ πολλῶν γε κακῶν λύσειας ἅπαντας,
Ἢ πᾶσιν δείξαις οἵῳ τῷ δαίμονι χρῶνται.
Ἀλλὰ σὺ θάρσει, ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν,
Οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
Ὧν εἴ σοί τι μέτεστι, κρατήσεις ὧν σε κελεύω,
Ἐξακέσας, ψυχὴν δὲ πόνων ἀπὸ τῶνδε σαώσεις.
Ἀλλ᾽ εἴργου βρωτῶν ὧν εἴπομεν, ἔν τε καθαρμοῖς,
Ἔν τε λύσει ψυχῆς κρίνων· καὶ φράζευ ἕκαστα,
Ἡνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην.
Ἢν δ᾽ ἀπολείψας σῶμα ἐς αἰθέρ᾽ ἐλεύθερον ἔλθῃς,
Ἔσσεαι ἀθάνατος θεὸς ἄμβροτος, οὐκ ἔτι θνητός.

ΚΑΛ-

# ΚΑΛΛΙΜΑΧΟΥ

## ΥΜΝΟΣ

## Εἰς τὸν ΔΙΑ.

ΖΗΝΟΣ ἔοι τί κεν ἄλλο παρὰ σπονδῇσιν ἀείδειν
Λώϊον, ἢ θεὸν αὐτὸν, ἀεὶ μέγαν, αἰὲν ἄνακτα;
Πηλογόνων ἐλατῆρα, δικασπόλον οὐρανίδῃσι;
Πῶς καί νιν, Δικταῖον ἀείσομεν, ἠὲ Λυκαῖον;
Ἐν δοιῇ μάλα θυμός· ἐπεὶ γένος ἀμφήριστον.
Ζεῦ, σὲ μὲν Ἰδαίοισιν ἐν οὔρεσι φασὶ γενέσθαι,
Ζεῦ, σὲ δ' ἐν Ἀρκαδίῃ· πότεροι, πάτερ, ἐψεύσαντο;
Κρῆτες ἀεὶ ψεῦσται. καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο
Κρῆτες ἐτεκτήναντο. σὺ δ' οὐ θάνες· ἐσσὶ γὰρ αἰεί.
Ἐν δέ σε Παῤῥασίῃ Ῥείη τέκεν, ἧχι μάλιστα
Ἔσκεν ὄρος θάμνοισι περισκεπές. ἔνθεν ὁ χῶρος
Ἱερός. οὐδέ τί μιν κεχρημένον Εἰλειθυίης
Ἑρπετὸν, οὐδὲ γυνὴ ἐπινίσσεται. ἀλλὰ ἑ Ῥείης
Ὠγύγιον καλέουσι λεχώϊον Ἀπιδανῆες.
Ἐνθά σ' ἐπεὶ μήτηρ μεγάλων ἀπεθήκατο κόλπων,
Αὐτίκα δίζητο ῥόον ὕδατος, ᾧ κε τόκοιο
Λύματα χυτλώσαιτο, τεὸν δ' ἐνὶ χρῶτα λοέσσαι.
Λάδων ἀλλ' οὔπω μέγας ἔρρεεν, οὐδ' Ἐρύμανθος

Λευκότατος ποταμῶν. ἔπι δ' ἄβροχος ἦεν ἅπασα
Ἀρκαδίη· μέλλεν δὲ μάλ' εὔυδρος καλέεσθαι
Αὖτις. ἐπεὶ τημόσδε Ῥέη ὅτ' ἐλύσατο μίτρην,
Ἦ πολλὰς ἐφύπερθε σαρωνίδας ὑγρὸς Ἰάων
Ἤειρεν, πολλὰς δὲ Μέλας ὤχησεν ἁμάξας,
Πολλὰ δὲ Καρίωνος ἄνω, διεροῦ περ ἐόντος,
Ἰλυοὺς ἐβάλοντο κινώπετα, νίσετο δ' ἀνὴρ
Πεζὸς ὑπὲρ Κρᾶθίν τε, πολύσειόν τε Μελώπην
Διψαλέος· τὸ δὲ πολλὸν ὕδωρ ὑπὸ ποσσὶν ἔκειτο.
Καί ῥ' ὑπ' ἀμηχανίης σχομένη φάτο πότνια Ῥείη,
Γαῖα φίλη, τέκε καὶ σύ· τεαὶ δὲ ὠδῖνες ἐλαφραί.
Εἶπε, καὶ ἀντανύσασα θεὰ μέγαν ὑψόθι πῆχυν,
Πλῆξεν ὄρος σκήπτρῳ· τὸ δέ οἱ δίχα πουλὺ διέστη,
Ἐκ δ' ἔχεεν μέγα χεῦμα. τόθι χρόα φαιδρύνασα,
Ὦνα, τεὸν σπείρωσε· Νέδη δέ σε δῶκε κομίσσαι
Κευθμὸν ἔσω Κρηταῖον, (ἵνα κρύφα παιδεύοιο)
Πρεσβυτάτη νυμφέων αἵ μιν τότε μαιώσαντο,
Πρωτίστη γενεῇ, μετά τε Στύγα, Φιλύρην τε.
Οὐδ' ἁλίην ἀπέτισε θεὴ χάριν, ἀλλὰ τὸ χεῦμα
Κεῖνο Νέδην ὀνόμηνε. τὸ μέν ποθι πουλὺ κατ' αὐτὸ
Καυκώνων πτολίεθρον, ὃ Λέπρειον πεφάτισται,
Συμφέρεται νηρῆϊ· παλαιότατον δέ μιν ὕδωρ
Υἱωνοὶ πίνουσι Λυκαονίης ἄρκτοιο.
Εὖτε Θενὰς ἀπέλειπεν, ἐπὶ Κνωσσοῖο φέρουσα,
Ζεῦ πάτερ, ἡ νύμφη σε, (Θεναὶ δὲ ἔσαν ἐγγύθι Κνωσσοῦ)
Του-



Τουτάκι τοι πέσε, δαῖμον, ἀπ' ὀμφαλός. ἔνθεν ἐκεῖνο
Ὀμφάλιον μετέπειτα πέδον καλέουσι Κύδωνες.
Ζεῦ, σὲ δὲ Κυρβάντων ἑταραι προσεπηχύναντο
Δικταῖαι Μελίαι, σὲ δὲ κοίμισεν Ἀδρήστεια
Λίκνῳ ἐνὶ χρυσέῳ· σὺ δ' ἐθήσαο πίονα μαζὸν
Αἰγὸς Ἀμαλθείης, ἐπὶ δὲ γλυκὺ κηρίον ἔβρως.
Γέντο γὰρ ἐξαπιναῖα Πανακρίδος ἔργα μελίσσης
Ἰδαίοις ἐν ὄρεσσι. τά τε κλείουσι Πάνακρα
Οὖλα δὲ Κούρητές σε περὶ πρύλιν ὠρχήσαντο
Τεύχεα πεπλήγοντες, ἵνα Κρόνος οὔασιν ἠχὼ
Ἀσπίδος εἰσαΐοι, καὶ μή σεο κουρίζοντος.
Καλὰ μὲν ἠέξευ, καλὰ δ' ἔτραφες, οὐράνιε Ζεῦ·
Ὀξὺ δ' ἀνήβησας, ταχινοὶ δέ τοι ἦλθον ἴουλοι.
Ἀλλ' ἔτι παιδνὸς ἐὼν ἐφράσσαο πάντα τέλεια·
Τῷ τοι καὶ γνωτοί, προτερηγενέες περ ἐόντες,
Οὐρανὸν οὐκ ἐμέγηραν ἔχειν ἐπιδαίσιον οἶκον.
Δηναιοὶ δ' οὐ πάμπαν ἀληθέες ἦσαν ἀοιδοί.
Φάντο πάλον Κρονίδῃσι διὰ τρίχα δώματα νεῖμαι·
Τίς δε κ' ἐπ' Οὐλύμπῳ τε καὶ Ἄϊδι κλῆρον ἐρύσσαι,
Ὃς μάλα μὴ νενίηλος; ἐπ' ἰσαίῃ γὰρ ἔοικε
Πήλασθαι· τὰ δὲ τόσσον ὅσον διὰ πλεῖστον ἔχουσι.
Ψευδοίμην ἀΐοντος ἅ κεν πεπίθοιεν ἀκουήν.
Οὔ σε θεῶν ἐσσῆνα πάλοι θέσαν, ἔργα δὲ χειρῶν,
Ἥ τε βίη, τό τε κάρτος, ὃ καὶ πέλας εἵσαο δίφρου.
Θήκαο δ' οἰωνῶν μέγ' ὑπείροχον ἀγγελιώτην


Σῶν

Σῶν τεράων· ἅτ' ἐμοῖσι φίλοις ἐνδέξια φαίνοις.
Εἵλεο δ' αἰζηῶν ὅ, τι φέρτατον· οὐ σύ γε νηῶν
Ἐμπεράμους, οὐκ ἄνδρα σακέσπαλον, οὐ μὲν ἀοιδόν.
Ἀλλὰ τὰ μὲν μακάρεσσιν ὀλίζοσιν αὖθι παρῆκας,
Ἄλλα μέλειν ἑτέροισι. σὺ δ' ἐξέλεο πτολιάρχους
Αὐτοὺς, ὧν ὑπὸ χεῖρα γεωμόρος, ὧν ἴδρις αἰχμῆς,
Ὧν ἐρέτης, ὧν πάντα· (τί δ' οὐ κρατέοντος ὑπ' ἰσχύν;)
Αὐτίκα χαλκῆας μὲν ὑδείομεν Ἡφαίστοιο·
Τευχηστὰς δ' Ἄρηος· ἐπακτῆρας δὲ Χιτώνης
Ἀρτέμιδος· Φοίβου δὲ, λύρης εὖ εἰδότας οἴμους.
Ἐκ δὲ Διὸς βασιλῆες. ἐπεὶ Διὸς οὐδὲν ἀνάκτων
Θειότερον· τῷ καί σφι τεὴν ἐκρίναο λῆξιν·
Δῶκας δὲ πτολίεθρα φυλασσέμεν· ἵζεο δ' αὐτὸς
Ἄκρης ἐν πολίεσσιν, ἐπόψιος οἵ τε δίκῃσι
Λαὸν ὑπὸ σκολιῇς, οἵ τ' ἔμπαλιν ἰθύνουσιν.
Ἐν δὲ ῥυηφενίην ἔβαλές σφισιν, ἐν δ' ἅλις ὄλβου·
Πᾶσι μὲν, οὐ μάλα δ' ἶσον. ἔοικε δὲ τεκμήρασθαι
Ἡμετέρῳ μεδέοντι· περὶ πρὸ γὰρ εὐρὺ βέβηκεν.
Ἑσπέριος κεῖνός γε τελεῖ τά κεν ἦρι νοήσῃ·
Ἑσπέριος τὰ μέγιστα, τὰ μείονα δ' εὖτε νοήσῃ.
Οἱ δὲ τὰ μὲν πλεόνεσσι, τὰ δ' οὐχ' ἑνί· τῶν δ' ἀπὸ πάμπαν
Αὐτὸς ἄνην ἐκόλουσας, ἐνέκλασσας δὲ μενοινήν.
Χαῖρε μέγα, Κρονίδη πανυπέρτατε, δῶτορ ἐάων,
Δῶτορ ἀπημονίης. τεὰ δ' ἔργματα τίς κεν ἀείδοι;
Οὐ γένετ', οὐκ ἔσται· τίς κεν Διὸς ἔργματ' ἀείσοι;

Χαῖρε,

SISMANOGLIO MEGARO



Χαῖρε, πάτερ, χαῖρ' αὖθι· δίδου δ' ἀρετήν τ' ἄφενός τε.
Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν,
Οὔτ' ἀρετὴ ἀφένοιο. δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

Τοῦ αὐτοῦ

# Εἰς τὸν ΑΠΟΛΛΩΝΑ ΥΜΝΟΣ.

Οἷον ὁ τὠπόλλωνος ἐσείσατο δάφνινος ὅρπηξ,
Οἷα δ' ὅλον τὸ μέλαθρον. ἑκὰς, ἑκὰς, ὅστις ἀλιτρός.
Καὶ δή που τὰ θύρετρα καλῷ ποδὶ Φοῖβος ἀράσσει.
Οὐχ ὁράας; ἐπένευσεν ὁ Δήλιος ἡδύ τι φοῖνιξ
Ἐξαπίνης, ὁ δὲ κύκνος ἐν ἠέρι καλὸν ἀείδει.
Αὐτοὶ νῦν καλοχῆες ἀνακλίνεσθε πυλάων,
Αὐταὶ δὲ κληῖδες· ὁ γὰρ θεὸς οὐκέτι μακράν.
Οἱ δὲ νέοι μολπήν τε καὶ ἐς χορὸν ἐντύνεσθε.
Ὠπόλλων οὐ παντὶ φαείνεται, ἀλλ' ὅ, τις ἐσθλός.
Ὅς μιν ἴδῃ, μέγας οὗτος· ὃς οὐκ ἴδε, λιτὸς ἐκεῖνος.
Ὀψόμεθ', ὦ Ἑκάεργε, καὶ ἐσσόμεθ' οὔποτε λιτοί.
Μήτε σιωπηλὴν κίθαριν, μήτ' ἄψοφον ἴχνος
Τοῦ Φοίβου τοὺς παῖδας ἔχειν ἐπιδημήσαντος,
Εἰ τελέειν μέλλουσι γάμον, πολιήν τε κερεῖσθαι,
Ἑστήξειν δὲ τὸ τεῖχος ἐπ' ἀρχαίοισι θεμέθλοις.
Ἠγασάμην τοὺς παῖδας, ἐπεὶ χέλυς οὐκέτ' ἀεργός.

Εὐφη-

Εὐφημεῖτ᾽ ἀίοντες ἐπ᾽ Ἀπόλλωνος ἀοιδῇ.
Εὐφημεῖ καὶ πόντος, ὅτε κλείουσιν ἀοιδοὶ
Ἢ κίθαριν, ἢ τόξα, Λυκωρέος ἔντεα Φοίβου.
Οὐδὲ Θέτις Ἀχιλῆα κινύρεται αἴλινα μήτηρ,
Ὁππότ᾽ ἰὴ παιῆον, ἰὴ παιῆον ἀκούσῃ.
Καὶ μὲν ὁ δακρυόεις ἀναβάλλεται ἄλγεα πέτρος,
Ὅς τις ἐνὶ Φρυγίῃ διερὸς λίθος ἐστήρικται,
Μάρμαρον ἀντὶ γυναικὸς ὀϊζυρόν τι χανούσης.
Ἰὴ, ἰὴ φθέγγεσθε· κακὸν μακάρεσσιν ἐρίζειν.
Ὃς μάχεται μακάρεσσιν, ἐμῷ βασιλῆϊ μάχοιτο·
Ὅς τις ἐμῷ βασιλῆϊ, καὶ Ἀπόλλωνι μάχοιτο.
Τὸν χορὸν ὡπόλλων, ὅτι οἱ κατὰ θυμὸν ἀείδει,
Τιμήσει. δύναται γὰρ, ἐπεὶ Διῒ δεξιὸς ἧσται.
Οὐδ᾽ ὁ χορὸς μετὰ Φοῖβον ἐφ᾽ ἓν μόνον ἦμαρ ἀείσει·
Ἔστι γὰρ εὔυμνος· τίς ἂν οὐ ῥέα Φοῖβον ἀείδοι;
Χρύσεα τῷπόλλωνι, τό, τ᾽ ἐνδυτὸν, ἥ τ᾽ ἐπιπορπὶς,
Ἥ τε λύρη, τό, τ᾽ ἄεμμα τὸ Λύκτιον, ἥ τε φαρέτρη·
Χρύσεα καὶ τὰ πέδιλα. πολύχρυσος γὰρ Ἀπόλλων,
Καί τε πολυκτέανος. Πυθῶνί κε τεκμήραιο.
Καί κεν ἀεὶ καλὸς καὶ ἀεὶ νέος· οὔποτε Φοίβου
Θηλείαις οὐδ᾽ ὅσσον ἐπὶ χνόος ἦλθε παρειαῖς.
Αἱ δὲ κόμαι θυόεντα πέδῳ λείβουσιν ἔλαια.
Οὐ λίπος Ἀπόλλωνος ἀποστάζουσιν ἔθειραι,
Ἀλλ᾽ αὐτὴν πανάκειαν. ἐν ἄστει δ᾽ ᾧ κεν ἐκεῖναι
Πρῶκες ἔραζε πέσωσιν, ἀκήρια πάντ᾽ ἐγένοντο.

Τέχνῃ



Τέχνῃ δ᾽ ἀμφιλαφὴς οὔ τις τόσον ὅσσον Ἀπόλλων.
Κεῖνος ὀϊστευτὴν ἔλαχ᾽ ἀνέρα, κεῖνος ἀοιδόν.
Φοίβῳ γὰρ καὶ τόξον ἐπιτρέπεται καὶ ἀοιδή.
Κείνου δὲ θριαὶ, καὶ μάντιες· ἐκ δέ νυ Φοίβου
Ἰητροὶ δεδάασιν ἀνάβλησιν θανάτοιο.
Φοῖβον καὶ Νόμιον κικλήσκομεν, ἐξ ἔτι κείνου
Ἐξότ᾽ ἐπ᾽ Ἀμφρυσσῷ ζευγίτιδας ἔτρεφεν ἵππους,
Ἠϊθέου ὑπ᾽ ἔρωτι κεκαυμένος Ἀδμήτοιο.
Ῥεῖά κε βουβόσιον τελέθοι πλέον, οὐδέ κεν αἶγες
Δεύοιντο βρεφέων ἐπιμηλάδες, ᾗσιν Ἀπόλλων
Βοσκομένῃς ὀφθαλμὸν ἐπήγαγεν. οὐδ᾽ ἀγάλακτοι
Οἴιες, οὐδ᾽ ἄκυθοι, πᾶσαι δέ κεν εἶεν ὕπαρνοι.
Ἡ δέ κε μουνοτόκος, διδυματόκος αἶψα γένοιτο.
Φοίβῳ δ᾽ ἑσπόμενοι πόλιας διεμετρήσαντο
Ἄνθρωποι. Φοῖβος γὰρ ἀεὶ πολίεσσι φιληδεῖ
Κτιζομέναις, αὐτὸς δὲ θεμείλια Φοῖβος ὑφαίνει.
Τετραέτης τὰ πρῶτα θεμείλια Φοῖβος ἔπηξε
Καλῇ ἐν Ὀρτυγίῃ περιηγέος ἐγγύθι λίμνης.
Ἄρτεμις ἀγρώσσουσα καρήατα συνεχὲς αἰγῶν
Κυνθιάδων φορέεσκεν, ὁ δ᾽ ἔπλεκε βωμὸν Ἀπόλλων.
Δείματο μὲν κεράεσσιν ἐδέθλια, πῆξε δὲ βωμὸν
Ἐκ κεράων, κεραοὺς δὲ πέριξ ὑπεβάλλετο τοίχους.
Ὧδ᾽ ἔμαθεν τὰ πρῶτα θεμείλια Φοῖβος ἐγείρειν.
Φοῖβος καὶ βαθύγειον ἐμὴν πόλιν ἔφρασε Βάττῳ·
Καὶ Λιβύην ἐσιόντι κόραξ ἡγήσατο λαῷ

Δεξιὸς

Δεξιὸς οἰκιστῆρι· καὶ ὤμοσε τείχεα δώσειν
Ἡμετέροις βασιλεῦσιν· ἀεὶ δ' εὔορκος Ἀπόλλων.
Ὦ 'πολλον, πολλοί σε Βοηδρόμιον καλέουσι,
Πολλοὶ δὲ Κλάριον· (πάντη δέ τοι οὔνομα πουλὺ)
Αὐτὰρ ἐγὼ Καρνεῖον· ἐμοὶ πατρώϊον οὕτω.
Σπάρτη τοι, Καρνεῖε, τόδε πρώτιστον ἕδεθλον,
Δεύτερον αὖ Θήρη, τρίτατόν γε μὲν ἄστυ Κυρήνη.
Ἐκ μέν σε Σπάρτης ἕκτον γένος Οἰδιπόδαο
Ἤγαγε Θηραίην ἐς ἀπόκτισιν· ἐκ δέ σε Θήρης
Οὖλος Ἀριστοτέλης Ἀσβυστίδι πάρθετο γαίῃ·
Δεῖμε δέ τοι μάλα καλὸν ἀνάκτορον· ἐν δὲ πόληϊ
Θῆκε τελεσφορίην ἐπετήσιον, ᾗ ἔνι πολλοὶ
Ὑστάτιον πίπτουσιν ἐπ' ἰσχίον, ὦ ἄνα, ταῦροι.
Ἰὴ ἰὴ, Καρνεῖε πολύλλιτε, σεῖο δὲ βωμοὶ
Ἄνθεα μὲν φορέουσιν ἐν εἴαρι, τόσσά περ ὧραι
Ποικίλ' ἀγινεῦσι ζεφύρου πνείοντος ἐέρσην,
Χείματι δὲ κρόκον ἡδύν. ἀεὶ δέ τοι ἀέναον πῦρ,
Οὐδέ ποτε χθιζὸν περιβόσκεται ἄνθρακα τέφρη.
Ἦ ῥ' ἐχάρη μέγα Φοῖβος, ὅτε ζωστῆρες Ἐνυοῦς
Ἀνέρες ὠρχήσαντο μετὰ ξανθῇσι Λιβύσσης,
Τέθμιαι εὖτέ σφιν Καρνειάδες ἤλυθον ὧραι.
Οἱ δ' οὔπω πηγῆς Κυρῆς ἐδύναντο πελάσσαι
Δωριέες, πυκινὴν δὲ νάπαις Ἄζιλιν ἔναιον.
Τοὺς μὲν ἄναξ ἴδεν αὐτὸς, ἔῃ δ' ἐπεδείξατο νύμφῃ
Στὰς ἐπὶ Μυρτούσης κερατώδεος. ἧχι λέοντα

Ὑψηῒς



Ὑψηῒς κατέπεφνε, βοῶν σίνιν Εὐρυπύλοιο.
Οὐ κείνου χορὸν εἶδε θεώτερον ἄλλον Ἀπόλλων,
Οὐδὲ πόλει τόσ' ἔνειμεν ὀφέλσιμα τόσσα Κυρήνῃ,
Μνωόμενος προτέρης ἁρπακτύος. οὐδὲ μὲν αὐτοὶ
Βαττιάδαι Φοίβοιο πλέον θεὸν ἄλλον ἔτισαν.
Ἰὴ ἰὴ παιῆον, ἀκούομεν, οὕνεκα τοῦτο
Δελφός τοι πρώτιστον ἐφύμνιον εὕρετο λαὸς,
Ἦμος ἑκηβολίην χρυσέων ἐπεδείκνυσο τόξων.
Πυθώ τοι κατιόντι συνήντετο δαιμόνιος θὴρ,
Αἰνὸς ὄφις. τὸν μὲν σὺ κατήναρες, ἄλλον ἐπ' ἄλλῳ
Βάλλων ὠκὺν ὀϊστόν. ἐπηΰτησε δὲ λαὸς,
Ἰὴ ἰὴ παιῆον, ἵει βέλος. εὐθύ σε μήτηρ
Γείνατ' ἀοσσητῆρα· τὸ δ' ἐξ ἔτι κεῖθεν ἀείδῃ.
Ὁ Φθόνος Ἀπόλλωνος ἐπ' οὔατα λάθριος εἶπεν,
Οὐκ ἄγαμαι τὸν ἀοιδὸν, ὃς οὐδ', ὅσα πόντος, ἀείδει.
Τὸν Φθόνον ὡ 'πόλλων ποδί τ' ἤλασεν, ὧδέ τ' ἔειπεν·
Ἀσσυρίου ποταμοῖο μέγας ῥόος, ἀλλὰ τὰ πολλὰ
Λύματα γῆς καὶ πολλὸν ἐφ' ὕδατι συρφετὸν ἕλκει.
Δηοῖ δ' οὐκ ἀπὸ παντὸς ὕδωρ φορέουσι Μέλισσαι,
Ἀλλ' ἥτις καθαρή τε καὶ ἀχράαντος ἀνέρπει
Πίδακος ἐξ ἱερῆς ὀλίγη λιβὰς, ἄκρον ἄωτον.
Χαῖρε ἄναξ· ὁ δὲ Μῶμος, ἵν' ὁ Φθόνος, ἔνθα νέοιτο.



SISMANOGLIO

# ΠΙΝΔΑΡΟΥ

## ΤΩΝ ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Β΄.

### ΘΗΡΩΝΙ Ἀκραγαντίνῳ, ἅρματι.

στρο. α΄. κώ. ιδ΄.

ΑΝΑΞΙΦΟΡΜΙΓΓΕΣ ὕμνοι,
τίνα θεὸν, τίν' ἥρωα,
τίνα δ' ἄνδρα κελαδήσομεν;
ἤτοι Πίσα μὲν, Διός·
Ὀλυμπιάδα δ' ἔστα-
σεν Ἡρακλέης,
ἀκρόθινα πολέμου.
Θήρωνα δὲ τετραορίας
ἕνεκα νικαφόρου
γεγωνητέον ὀπὶ,
δίκαιον ξένον,
ἔρεισμ' Ἀκράγαντος,
εὐωνύμων τε πατέρων
ἄωτον, ὀρθόπολιν·

ἀντιστρ. α΄. κώ. ιδ΄.

καμόντες οἳ πολλὰ θυμῷ,
ἱερὸν ἔσχον οἴκημα



SISMANOGLIO MEGARO

ποταμοῦ, Σικελίας τ' ἔσαν
ὀφθαλμός· αἰὼν τ' ἔφε-
πε μόρσιμος, πλοῦτόν
τε καὶ χάριν ἄγων
γνησίαις ἐπ' ἀρεταῖς.
ἀλλ' ὦ Κρόνιε, παῖ Ῥέας,
ἕδος ὀλύμπου νέμων,
ἀέθλων τε κορυφὰν,
πόρον τ' Ἀλφεοῦ,
ἰανθεὶς ἀοιδαῖς,
εὔφρων ἄρουραν ἔτι πα-
τρίαν σφίσιν κόμισον

ἐπῳ. α'. κῶ. η'.

" λοιπῷ γένει. τῶν δὲ πεπραγμένων
" ἐν δίκᾳ τε καὶ παρὰ δίκαν
" ἀποίητον οὐδ' ἂν
" χρόνος ὁ πάντων πατὴρ
" δύναιτο θέμεν ἔργων τέλος·
" λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ' ἄν.
" ἐσλῶν γὰρ ὑπὸ χαρμάτων
" πῆμα θνάσκει παλίγκοτον, δαμασθὲν,

στροφὴ β'. κῶ. ιδ'.

" ὅταν Θεοῦ μοῖρα πέμπῃ

ἀνεκὰς



" ἀνεκὰς ὄλβον ὑψηλόν.
ἕπεται δὲ λόγος εὐθρόνοις
Κάδμοιο κούραις, ἔπα-
θον αἳ μεγάλα. πένθος
" δὲ πιτνεῖ βαρὺ
" κρεσσόνων πρὸς ἀγαθῶν.
ζώει μὲν ἐν ὀλυμπίοις,
ἀποθανοῖσα βρόμῳ
κεραυνοῦ, τανυέθει-
ρα Σεμέλα· φιλεῖ
δέ μιν Παλλὰς αἰεὶ,
καὶ Ζεὺς πατὴρ μάλα· φιλεῖ
δὲ παῖς ὁ κισσοφόρος.

ἀντιστροφὴ β'. κῶ. ιδ'.

λέγοντι δ' ἐν καὶ θαλάσσᾳ,
μετὰ κόραισι Νηρῆος
ἁλίαις, βίοτον ἄφθιτον
Ἰνοῖ τετάχθαι, τὸν ὅ-
λον ἀμφὶ χρόνον. ἤτοι
" βροτῶν γε κέκριται
" πεῖρας οὔτι θανάτου,
" οὐδ' ἀσύχιμον ἁμέραν
" ὁπότε παῖδ' Ἁλίου
" ἀτειρεῖ σὺν ἀγαθῷ

" τελευ-

“ τελευτάσομεν.
“ ῥοαὶ δ᾽ ἄλλοτ᾽ ἄλλαι
“ εὐθυμιᾶν τε μέτα, καὶ
“ πόνων ἐς ἄνδρας ἔβαν.

ἐπῳδὸς β΄. κώ. η΄.

οὕτω δὲ Μοῖρ᾽, ἅ τε πατρώϊον
τῶνδ᾽ ἔχει τὸν εὔφρονα πότμον
θεόρτῳ σὺν ὄλβῳ,
ἐπί τι καὶ πῆμ᾽ ἄγει
παλιντράπελον ἄλλῳ χρόνῳ,
ἐξ οὗ περ ἔκτεινε Λάϊον μόριμος υἱὸς
συναντόμενος, ἐν δὲ Πυ-
θῶνι χρησθὲν παλαίφατον τέλεσσεν.

στροφὴ γ΄. κώ. ιδ΄.

ἰδοῖσα δ᾽ ὀξεῖ᾽ Ἐριννὺς
ἔπεφνεν ἑοῖ σὺν ἀλλαλο-
φονίᾳ γένος ἀρήϊον.
λείφθη δὲ Θέρσανδρος ἐ-
ριπόντι Πολυνείκει,
νέοις ἐν ἀέθλοις,
ἐν μάχαις τε πολέμου
τιμώμενος, Ἀδραστιδᾶν
θάλος ἀρωγὸν δόμοις,

ὅθεν



ὅθεν σπέρματος ἔχον-
τι ῥίζαν, πρέπει
τὸν Αἰνησιδάμου
ἐγκωμίων τε μελέων
λυρᾶν τε τυγχανέμεν.

ἀντιστρ. γ΄. κώ. ιδ΄.

Ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς
γέρας ἔδεκτο· Πυθῶνι
δ᾽ ὁμόκλαρον ἐς ἀδελφεὸν,
Ἰσθμοῖ τε, κοιναὶ Χάρι-
τες ἄνθεα τεθρίππων
δυωδεκαδρόμων
“ ἄγαγον. τὸ δὲ τυχεῖν
“ πειρώμενον ἀγωνίας,
“ παραλύει δυσφρόνων.
“ ὁ μὰν πλοῦτος ἀρεταῖς
“ δεδαιδαλμένος,
“ φέρει τῶν τε καὶ τῶν
“ καιρὸν, βαθεῖαν ὑπέχων
“ μέριμναν, ἀγροτέραν,

ἐπῳδὸς γ΄. κώ. η΄.

ἀστὴρ ἀρίζηλος, ἀλαθινὸν
ἀνδρὶ φέγγος. εἰ δέ μιν ἔχει

τις,

τις, οἶδεν τὸ μέλλον,
ὅτι θανόντων μὲν ἐν-
θάδ' αὐτίκ' ἀπάλαμνοι φρένες
ποινὰς ἔτισαν· τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ
" ἀλιτρὰ, κατὰ γᾶς δικά-
" ζει τις, ἐχθρᾷ λόγον φράσαις ἀνάγκᾳ.

στροφὴ δ'. κώ. ιδ'.

ἴσον δὲ νύκτεσσιν αἰεὶ,
ἴσα δ' ἐν ἁμέραις ἅλι-
ον ἔχοντες, ἀπονέστερον
ἐσλοὶ νέμονται βίο-
τον, οὐ χθόνα ταράσσον-
τες ἀλκᾷ χερῶν,
οὐδὲ πόντιον ὕδωρ,
" κεινὰν παρὰ δίαιταν· ἀλ-
" λὰ παρὰ μὲν τιμίοις
" θεῶν, οἵτινες ἔχαι-
" ρον εὐορκίαις,
" ἄδακρυν νέμονται
" αἰῶνα· τοί δ' ἀπροσόρα-
" τον ὀκχέοντι πόνον.

ἀντιστροφὴ δ'. κώ. ιδ'.

" ὅσοι δ' ἐτόλμασαν ἐς τρὶς





" ἑκατέρωθι μείναντες,
" ἀπὸ πάμπαν ἀδίκων ἔχειν
" ψυχὰν, ἔτειλαν Διὸς
" ὁδὸν παρὰ Κρόνου τύρ-
" σιν· ἔνθα μακάρων
νᾶσον ὠκεανίδες
αὖραι περιπνέουσιν, ἄν-
θεμα δὲ χρυσοῦ φλέγει,
τὰ μὲν χερσόθεν ἀπ' ἀ-
γλαῶν δενδρέων,
ὕδωρ δ' ἄλλα φέρβει·
ὅρμοισι τῶν χέρας ἀνα-
πλέκοντι καὶ στεφάνοις,

ἐπῳ. δ'. κώ. η'.

βουλαῖς ἐν ὀρθαῖς Ραδαμάνθυος,
ὃν πατὴρ ἔχει Κρόνος ἑτοῖ-
μον αὐτῷ πάρεδρον,
πόσις ὁ πάντων Ῥέας
ὑπέρτατον ἐχοίσας θρόνον.
Πηλεύς τε καὶ Κάδμος ἐν τοῖσιν ἀλέγονται·
Ἀχιλλέα τ' ἔνεικ', ἐπεὶ
Ζηνὸς ἦτορ λιταῖς ἔπεισε, μάτηρ.

στροφὴ ε'. κώ. ιδ'.

ὃς Ἕκτορ' ἔσφαλε Τροίας

ἄμαχον, ἀσραβῆ κίο-
να· Κύκνον τε θανάτῳ πόρεν,
Ἀοῦς τε παῖδ᾽ Αἰθιο-
πα. πολλά μοι ὑπ᾽ ἀγκῶ-
νος ὠκέα βέλη
ἔνδον ἐντὶ φαρέτρας
φωνᾶντα συνετοῖσιν· ἐς
δὲ τὸ πὰν ἑρμηνέων
" χατίζει. σοφὸς ὁ πολ-
" λὰ εἰδὼς φυᾷ·
" μαθόντες δὲ, λάβροι
" παγγλωσσίᾳ, κόρακες ὥς,
" ἄκραντα γαρύετον

ἀντιστροφὴ ε΄. κώ. ιδ΄.

" Διὸς πρὸς ὄρνιχα θεῖον.
ἔπεχε νῦν σκοπῷ τόξον·
ἄγε θυμὲ, τίνα βάλλομεν,
ἐκ μαλθακᾶς αὖτε φρε-
νὸς εὐκλέας ὀϊστοὺς
ἱέντες; ἐπί τοι
Ἀκράγαντι τανύσαις,
αὐδάσομαι ἐνόρκιον
λόγον ἀλαθεῖ νόῳ,
τεκεῖν μήτιν᾽ ἑκατόν





γ᾽ ἐτέων πόλιν
φίλοις ἄνδρα μᾶλλον
εὐεργέταν πραπίσιν, ἀ-
φθονέστερόν τε χέρα,

ἐπῳ. ε΄. κώ. η΄.

Θήρωνος. ἀλλ᾽ αἶνον ἔβα κόρος,
οὐ δίκᾳ συναντόμενος, ἀλ-
λὰ μάργων ὑπ᾽ ἀνδρῶν
τὸ λαλαγῆσαι θέλων,
κρύφον τε θέμεν ἐσλῶν, κακοῖς
ἔργοις. ἐπεὶ ψάμμος ἀριθμὸν περιπέφευ-
γεν, κεῖνος ὅσα χάρματ᾽ ἄλ-
λοις ἔθηκεν, τίς ἂν φράσαι δύναιτο;

Τοῦ αὐτοῦ

# ΤΩΝ ΝΕΜΕΩΝ ΕΙΔΟΣ Α΄.

## ΧΡΟΜΙΩ Αἰτναίῳ, ἅρματι.

στροφὴ α΄. κώ. ι΄.

Ἄμπνευμα σεμνὸν Ἀλφεοῦ,
κλεινᾶν Συρακοσσᾶν θάλος, Ὀρτυγία,
δέμνιον Ἀρτάμιδος,
Δάλου κασιγνήτα, σέθεν ἁδυεπὴς
ὕμνος ὁρμᾶται θέμεν
αἶνον ἀελλοπόδων μέγαν ἵππων,
Ζηνὸς Αἰτναίου χάριν.
ἅρμα δ᾽ ὀτρύνει Χρομίου Νεμέα
θ᾽ ἔργμασιν νικαφόροις
ἐγκώμιον ζεῦξαι μέλος.

ἀντιστρ. α΄. κώ. ι΄.

" ἀρχαὶ δὲ βέβλωνται θεῶν,
" κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς.
" ἔστι δ᾽ ἐν εὐτυχίᾳ
" πανδοξίας ἄκρον· μεγάλων δ᾽ ἀέθλων
" Μοῖσα μεμνᾶσθαι φιλεῖ.

νῦν

SISMANOGLIO MEGARO



Ἔσπειρε νῦν ἀγλαΐαν τινὰ νάσῳ,
τὰν Ὀλύμπου δεσπότας
Ζεὺς ἔδωκεν Περσεφόνᾳ, κατένευ-
σέν τέ οἱ χαίταις, ἀρι-
στεύοισαν εὐκάρπου χθονὸς,

ἐπῳ. α΄. κώ. η΄.

Σικελίαν πί[illegible]ν ὀρθώ-
σειν, κορυφαῖς πολίων ἀφνεαῖς.
ὤπασε δὲ Κρονίων
πολέμου μναστῆρά οἱ χαλκεντέος
λαὸν ἵππαιχμον, θαμὰ δὴ καὶ Ὀλυμ-
πιάδων φύλλοις ἐλαιᾶν
χρυσέοισι μιχθέντα. πολλῶν ἐπέβαν,
καιρὸν οὐ ψεύδει βαλών.

στρο. β΄. κώ. ι΄.

ἔσταν δ᾽ ἐπ᾽ αὐλείαις θύραις
ἀνδρὸς φιλοξείνου, καλὰ μελπόμενος.
ἔνθα μοι ἁρμόδιον
δεῖπνον κεκόσμηται· θαμὰ δ᾽ ἀλλοδαπῶν
οὐκ ἀπείρατοι δόμοι
ἐντί. λέλογχε δὲ μεμφομένοις ἐσ-
λὸς ὕδωρ καπνῷ φέρειν
" ἀντίον. τέχναι δ᾽ ἑτέρων ἕτεραι·

" χρὴ

" χρὴ δ᾽ ἐν εὐθείαις ὁδοῖς
" στείχοντα μάρνασθαι φυᾷ.

ἀντιστροφὴ β΄. κώ. ί.

" πράσσει γὰρ ἔργῳ μὲν σθένος,
" βουλαῖσι δὲ φρὴν, ἐσσόμενον προϊδεῖν
" συγγενὲς οἷς ἕπεται.
Ἁγησιδάμου παῖ, σέο δ᾽ ἀμφὶ τρόπῳ
τῶν τε καὶ τῶν χρήσιες.
" οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦ-
" τον κατακρύψας ἔχειν·
" ἀλλ᾽ ἐόντων, εὖ τε παθεῖν, καὶ ἀκοῦ-
" σαι, φίλοις ἐξαρκέων.
" κοιναὶ γὰρ ἔρχοντ᾽ ἐλπίδες

ἐπῳδὸς, β΄. κώ. ή.

" πολυπόνων ἀνδρῶν. ἐγὼ δ᾽ Ἡ-
ρακλέος ἀντέχομαι προφρόνως,
ἐν κορυφαῖς ἀρετᾶν
μεγάλαις ἀρχαῖον ὀτρύνων λόγον·
ὡς, ἐπεὶ σπλάγχνων ὕπο ματέρος αὐ-
τίκα θαητὰν ἐς αἴγλαν
παῖς Διὸς, ὠδῖνα φεύγων, διδύμῳ
σὺν κασιγνήτῳ μόλεν·

στροφ. γ΄. κώ. ί.

ὡς τ᾽ οὐ λαθὼν χρυσόθρονον

Ἥραν,

SISMANOGLIO



Ἥραν, κροκωτὸν σπάργανον ἐγκατέβα.
ἀλλὰ θεῶν βασίλεια
σπερχθεῖσα θυμῷ, πέμπε δράκοντας,
τοὶ μὲν, οἰχθεισᾶν πυλᾶν,
ἐς θαλάμου μυχὸν εὐρὺν ἔβαν, τέ-
κνοισιν ὠκείας γνάθους
ἀμφελίξασθαι μεμαῶτες· ὁ δ᾽ ὀρ-
θὸν μὲν ἄντεινεν κάρα,
πειρᾶτο δὲ πρῶτον μάχας,

ἀντιστρ. γ΄. κώ. ί.

δισσαῖσι δοιοὺς αὐχένων
μάρψας ἀφύκτοις χερσὶν ἑαῖς ὄφιας·
ἀγχομένοις δὲ χρόνος
ψυχὰς ἀπέπνευσεν μελέων ἀφάτων.
ἐκ δ᾽ ἄρ᾽ ἄτλατον δέος
πλᾶξε γυναῖκας, ὅσαι τύχον Ἀλκμή-
νας ἀρήγοισαι λέχει.
καὶ γὰρ αὐτὰ ποσὶν ἄπεπλος ὀρού-
σαισ᾽ ἀπὸ στρωμνᾶς, ὅμως
ἄμυνεν ὕβριν κνωδάλων.

ἐπῳ γ΄. κώ. ή.

ταχὺ δὲ Καδμείων ἀγοὶ χαλ-
κέοις σὺν ὅπλοις ἀθρόοι ἔδραμον.

ἐν

ἐν χερὶ δ' Ἀμφιτρύων
κολεοῦ γυμνὸν φάσγανον τινάσσων
ἵκετ', ὀξείαις ἀνίαισι τυπείς.
" τὸ γὰρ οἰκεῖον πιέζει
" πάνθ' ὁμῶς· εὐθὺς δ' ἀπήμων καρδία
" κᾶδος ἀμφ' ἀλλότριον.

στροφ. δ'. κώ. ί.

ἔστα δὲ θάμβει δυσφόρῳ
τερπνῷ τε μιχθείς· εἶδε γὰρ ἐκνόμιον
λῆμά τε καὶ δύναμιν
υἱοῦ. παλίγλωσσον δέ οἱ ἀθάνατοι
ἀγγέλων ῥῆσιν θέσαν.
γείτονα δ' ἐκκάλεσεν Διὸς ὑψί-
στου προφάταν ἔξοχον
ὀρθόμαντιν Τειρεσίαν. ὁ δέ οἱ
φράζε καὶ παντὶ στρατῷ
ποίαις ὁμιλήσει τύχαις·

ἀντιστρ. δ'. κώ. ί.

ὅσσους μὲν ἐν χέρσῳ κτανών,
ὅσσους δ' ἐν πόντῳ θῆρας αἰδροδίκας·
καί τινα σὺν πλαγίῳ
ἀνδρῶν κόρῳ στείχοντα τὸν ἐχθρότατον
φασέ νιν δώσειν μόρον.

καὶ



καὶ γὰρ ὅταν θεοὶ ἐν πεδίῳ Φλέ-
γρας γιγάντεσσιν μάχαν
ἀντιάζωσιν, βελέων ὑπὸ ῥι-
παῖσι κείνου φαίδιμαν
γαίᾳ πεφύρσεσθαι κόμαν

ἐπῳδὸς δ'. κώλων. ή.

ἔννεπεν· αὐτὸν μὰν ἐν εἰρή-
νᾳ τὸν ἅπαντα χρόνον σχεῖν ἀεὶ
ἡσυχίαν, καμάτων
μεγάλων ποινὰν λαχόντ' ἐξαίρετον,
ὀλβίοις ἐν δώμασι δεξάμενον
θαλερὰν Ἥβαν ἄκοιτιν,
καὶ γάμον δαίσαντα πὰρ Δὶ Κρονίδᾳ,
σεμνὸν αἰνήσειν δόμον.

I ANA-

SISMANOGLIO

# ΑΝΑΚΡΕΟΝΤΟΣ

## Μέλη τινα.

### Εἰς Λύραν.

ΘΕΛΩ λέγειν Ἀτρείδας,
Θέλω δὲ Κάδμον ᾄδειν·
Ἡ βάρβιτος δὲ χορδαῖς
Ἔρωτα μοῦνον ἠχεῖ.
Ἤμειψα νεῦρα πρώην,
Καὶ τὴν λύρην ἅπασαν·
Κἀγὼ μὲν ᾖδον ἄθλους
Ἡρακλέους· λύρη δὲ
Ἔρωτας ἀντεφώνει.
Χαίροιτε λοιπὸν ἡμῖν,
Ἥρωες· ἡ λύρη γὰρ
Μόνους Ἔρωτας ᾄδει.

### Τοῦ αὐτοῦ
### Εἰς Ἔρωτα.

Μεσονυκτίοις ποθ' ὥραις,
Στρέφεται ὅτ' Ἄρκτος ἤδη
Κατὰ χεῖρα τὴν Βοώτου,
Μερόπων δὲ φῦλα πάντα



SISMANOGLIO

Κέαται, κόπῳ δαμέντα,
Τότ᾽ Ἔρως ἐπισταθεὶς, μευ
Θυρέων ἔκοπτ᾽ ὀχῆας.
Τίς, ἔφην, θύρας ἀράσσει;
Κατά μευ σχίσας ὀνείρους;
Ὁ δ᾽ Ἔρως, ἄνοιγε, φησί·
Βρέφος εἰμὶ, μὴ φόβησαι·
Βρέχομαι δὲ, κἀσέληνον
Κατὰ νύκτα πεπλάνημαι.
Ἐλέησα ταῦτ᾽ ἀκούσας·
Ἀνὰ δ᾽ εὐθὺ λύχνον ἅψας
Ἀνέῳξα, καὶ βρέφος μὲν
Ἐσορῶ φέροντα τόξον,
Πτέρυγάς τε καὶ φαρέτρην.
Παρὰ δ᾽ ἱστίην καθίσας
Παλάμῃσι χεῖρας αὐτοῦ
Ἀνέθαλπον, ἐκ δὲ χαίτης
Ἀπέθλιβον ὑγρὸν ὕδωρ.
Ὁ δ᾽, ἐπεὶ κρύος μεθῆκε,
Φέρε, φησὶ, πειράσωμεν
Τόδε τόξον, εἴ τι μοι νῦν
Βλάβεται βραχεῖσα νευρή.
Τανύει δὲ, καί με τύπτει
Μέσον ἧπαρ, ὥσπερ οἶστρος.
Ἀνὰ δ᾽ ἅλλεται καχάζων,

Ξένε,

SISMANOGLIO MEGARO



Ξένε, δ᾽ εἶπε, συγχάρηθι·
Κέρας ἀβλαβὲς μέν ἐστι,
Σὺ δὲ καρδίην πονήσεις.

Τοῦ αὐτοῦ

Εἰς ἑαυτόν.

Ἐπὶ μυρσίναις τερείναις,
Ἐπὶ λωτίναις δε ποίαις,
Στορέσας θέλω προπίνειν·
Ὁ δ᾽ Ἔρως χιτῶνα δήσας,
Ὑπὲρ αὐχένος παπύρῳ,
Μέθυ μοι διηκονείτω.
Τροχὸς ἅρματος γὰρ οἷα
Βίοτος τρέχει κυλισθείς·
Ὀλίγη δὲ κεισόμεσθα
Κόνις, ὀστέων λυθέντων.
Τί σε δεῖ λίθον μυρίζειν;
Τί δε γῇ χέειν μάταια;
Ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ,
Μύρισον, ῥόδοις δὲ κρᾶτα
Πύκασον, κάλει δ᾽ ἑταίρην,
Πρὶν, Ἔρως, ἐκεῖ μ᾽ ἀπελθεῖν
Ὑπὸ νερτέρων χορείας.
Σκεδάσαι θέλω μερίμνας.

Τοῦ

## Τοῦ αὐτοῦ

### Εἰς Περιστεράν.

Ἐρασμίη πέλεια,
Πόθεν, πόθεν πέτασαι;
Πόθεν μύρων τοσούτων,
Ἐπ' ἠέρος θέουσα,
Πνέεις τε καὶ ψεκάζεις;
Τίς ἐστί σοι; Μέλει δέ.
Ἀνακρέων μ' ἔπεμψε,
Πρὸς παῖδα, πρὸς Βάθυλλον,
Τὸν ἄρτι τῶν ἁπάντων
Κρατοῦντα καὶ τύραννον.
Πέπρακέ μ' ἡ Κυθήρη,
Λαβοῦσα μικρὸν ὕμνον.
Ἐγὼ δ' Ἀνακρέοντι
Διηκονῶ τοσαῦτα·
Καὶ νῦν οἵας ἐκείνου
Ἐπιστολὰς κομίζω·
Καί φησιν, εὐθέως με
Ἐλευθέρην ποιήσειν.
Ἐγὼ δέ, κἢν ἀφῇ με,
Δούλη μενῶ παρ' αὐτῷ.
Τί γάρ με δεῖ πέτασθαι

Ὄρη

SISMANOGLIO



Ὄρη τε καὶ κατ' ἀγρούς,
Καὶ δένδρεσιν καθίζειν,
Φαγοῦσαν ἄγριόν τι;
Τανῦν ἔδω μὲν ἄρτον
Ἀφαρπάσασα χειρῶν
Ἀνακρέοντος αὐτοῦ·
Πιεῖν δέ μοι δίδωσι
Τὸν οἶνον, ὃν προπίνει.
Πιοῦσα δ' ἂν χορεύσω,
Καὶ δεσπότην ἐμοῖσι
Πτεροῖσι συγκαλύψω·
Κοιμωμένη δ' ἐπ' αὐτῷ
Τῷ βαρβίτῳ καθεύδω.
Ἔχεις ἅπαντ', ἄπελθε·
Λαλιστέραν μ' ἔθηκας,
Ἄνθρωπε, καὶ κορώνης.

## Τοῦ αὐτοῦ

### Εἰς Ἑαυτόν.

Λέγουσιν αἱ γυναῖκες,
Ἀνακρέων, γέρων εἶ.
Λαβὼν ἔσοπτρον ἄθρει
Κόμας μὲν οὐκέτ' οὔσας,
Ψιλὸν δέ σευ μέτωπον.

Ἐγὼ

Ἐγὼ δὲ τὰς κόμας μὲν,
Εἴτ᾽ εἰσὶν, εἴτ᾽ ἀπῆλθον,
Οὐκ οἶδα· τοῦτο δ᾽ οἶδα,
Ὡς τῷ γέροντι μᾶλλον
Πρέπει τὸ τερπνὰ παίζειν,
Ὅσῳ πέλας τὰ μοίρης.

Τοῦ αὐτοῦ

Εἰς Ἔρωτα.

Θέλω, θέλω φιλῆσαι,
Ἔπειθ᾽ Ἔρως φιλεῖν με·
Ἐγὼ δ᾽ ἔχων νόημα
Ἄβουλον, οὐκ ἐπείσθην.
Ὁ δ᾽ εὐθὺ τόξον ἄρας,
Καὶ χρυσέην φαρέτρην,
Μάχῃ με προὐκαλεῖτο.
Κἀγὼ λαβὼν ἐπ᾽ ὤμων
Θώρηχ᾽, ὅπως Ἀχιλλεὺς,
Καὶ δοῦρα καὶ βοείην
Ἐμαρνάμην Ἔρωτι.
Ἔβαλλ᾽· ἐγὼ δ᾽ ἔφευγον·
Ὡς δ᾽ οὐκ ἔτ᾽ εἶχ᾽ ὀϊστοὺς,
Ἤσχαλλεν, εἶθ᾽ ἑαυτὸν
Ἀφῆκεν εἰς βέλεμνον.



SISMANOGLIO



Μέσος δὲ καρδίης μευ
Ἔδυνε καί μ᾽ ἔλυσε.
Μάτην δ᾽ ἔχω βοείην·
Τί γὰρ βαλώμεθ᾽ ἔξω,
Μάχης ἔσω μ᾽ ἐχούσης;

Τοῦ αὐτοῦ

Εἰς ποτήριον ἀργυροῦν.

Τὸν ἄργυρον τορεύσας,
Ἥφαιστε, μοὶ ποίησον,
Πανοπλίαν μὲν οὐχὶ,
Τί γὰρ μάχαισι κἀμοί;
Ποτήριον δὲ κοῖλον,
Ὅσον δύνῃ, βάθυνον.
Ποίει δέ μοι κατ᾽ αὐτὸ,
Μήτ᾽ ἄστρα, μήθ᾽ ἁμάξας,
Μὴ στυγνὸν Ὠρίωνα·
Τί Πλειάδεσσι κἀμοί;
Τί δ᾽ ἀστράσιν Βοώτεω;
Ποίησον ἀμπέλους μοι,
Καὶ βότρυας κατ᾽ αὐτὸ,
Καὶ χρυσέους πατοῦντας,
Ὁμοῦ καλῷ Λυαίῳ,
Ἔρωτα, καὶ Βάθυλλον.

### Τοῦ αὐτοῦ
Εἰς τὸ δεῖν πίνειν.

Ἡ Γῆ μέλαινα πίνει,
Πίνει δὲ Δένδρε' αὐτήν·
Πίνει Θάλασσα δ' Αὔρας,
Ὁ δ' Ἥλιος Θάλασσαν,
Τὸν δ' Ἥλιον Σελήνη.
Τί μοι μάχεσθ', ἑταῖροι,
Κἀυτῷ θέλοντι πίνειν;

### Τοῦ αὐτοῦ
Εἰς Ἔρωτα.

Αἱ Μοῦσαι τὸν Ἔρωτα,
Δήσασαι στεφάνοισι,
Τῷ Κάλλει παρέδωκαν·
Καὶ νῦν ἡ Κυθέρεια
Ζητεῖ λύτρα φέρουσα
Λύσασθαι τὸν Ἔρωτα.
Κἂν λύσῃ δέ τις αὐτόν,
Οὐκ ἔξεισι, μενεῖ δέ·
Δουλεύειν δεδίδακται.





### Τοῦ αὐτοῦ
Εἰς ἑαυτόν.

Ἄφες με, τοὺς θεούς σοι,
Πιεῖν, πιεῖν ἀμυστί·
Θέλω, θέλω μανῆναι.
Ἐμαίνετ' Ἀλκμαίων τε,
Χὠ λευκόπους Ὀρέστης,
Τὰς μητέρας κτανόντες·
Ἐγὼ δὲ μηδένα κτάς,
Πιὼν δ' ἐρυθρὸν οἶνον,
Θέλω, θέλω μανῆναι.
Ἐμαίνεθ' Ἡρακλῆς πρὶν,
Δεινὴν κλονῶν φαρέτρην,
Καὶ τόξον Ἰφίτειον·
Ἐμαίνετο πρὶν Αἴας,
Μετ' ἀσπίδος κραδαίνων
Τὴν Ἕκτορος μάχαιραν·
Ἐγὼ δ' ἔχων κύπελλον,
Καὶ στέμμα τοῦτο χαίταις,
Οὐ τόξον, οὐ μάχαιραν,
Θέλω, θέλω μανῆναι.

## Τοῦ αὐτοῦ

### Εἰς Χελιδόνα.

Σὺ μὲν, φίλη χελιδὼν,
Ἐτησίη μολοῦσα,
Θέρει πλέκεις καλιὴν,
Χειμῶνι δ' εἰς ἄφαντος,
Ἢ Νεῖλον, ἢ 'πὶ Μέμφιν·
Ἔρως δὲ ἀεὶ πλέκει μευ
Ἐν καρδίῃ καλιήν.
Πόθος δ' ὁ μὲν πτεροῦται,
Ὁ δ' ὠόν ἐστιν ἀκμὴν,
Ὁ δ' ἡμίλεπτος ἤδη·
Βοὴ δὲ γίνετ' αἰεὶ
Κεχηνότων νεοττῶν.
Ἐρωτιδεῖς δὲ μικροὺς
Οἱ μείζονες τρέφουσιν·
Οἱ δὲ τραφέντες εὐθὺς
Πάλιν κύουσιν ἄλλους.
Τί μῆχος οὖν γένηται;
Οὐ γὰρ σθένω τοσούτους
Ἔρωτας ἐκβοῆσαι.



SISMANOGLIO



## Τοῦ αὐτοῦ

### Εἰς Ἔρωτα.

Ἔρως ποτ' ἐν ῥόδοισι
Κοιμωμένην μέλιτταν
Οὐκ εἶδεν, ἀλλ' ἐτρώθη·
Τὸν δάκτυλον δὲ δηχθεὶς
Τῆς χειρὸς, ὠλόλυξε,
Δραμὼν δὲ καὶ πετασθεὶς
Πρὸς τὴν καλὴν Κυθήρην,
Ὄλωλα, μᾶτερ, εἶπεν,
Ὄλωλα, κἀποθνήσκω·
Ὄφις μ' ἔτυψε μικρὸς
Πτερωτὸς, ὃν καλοῦσι
Μέλιτταν οἱ γεωργοί.
Ἡ δ' εἶπεν, Εἰ τὸ κέντρον
Πονεῖ τὸ τῆς μελίττης,
Πόσον, δοκεῖς, πονοῦσιν,
Ἔρως, ὅσους σὺ βάλλεις;

## Τοῦ αὐτοῦ

### Εἰς τὰ Ἔρωτος βέλη.

Ὁ ἀνὴρ ὁ τῆς Κυθήρης,

Παρὰ Λημνίαις καμίνοις,
Τὰ βέλη τὰ τῶν Ἐρώτων
Ἐποίει λαβὼν σίδηρον.
Ἀκίδας δ' ἔβαπτε Κύπρις,
Μέλι τὸ γλυκὺ λαβοῦσα,
Ὁ δ' Ἔρως χολὴν ἔμισγεν.
Ὁ δ' Ἄρης ποτ' ἐξ αὐτῆς,
Στιβαρὸν δόρυ κραδαίνων,
Βέλος ἠυτέλιζ' Ἔρωτος.
Ὁ δ' Ἔρως, Τόδ' ἐστιν, εἶπε,
Βαρύ· πειράσας νοήσεις.
Ἔλαβεν βέλεμνον Ἄρης·
Ὑπεμειδίασε Κύπρις·
Ὁ δ' Ἄρης ἀναστενάξας,
Βαρὺ, φησὶν, ἆρον αὐτό.
Ὁ δ' Ἔρως, Ἔχ' αὐτὸ, φησίν.

Τοῦ αὐτοῦ

Εἰς Ἔρωτα φιλοκερδῆ.

Χαλεπὸν τὸ μὴ φιλῆσαι,
Χαλεπὸν δὲ καὶ φιλῆσαι·
Χαλεπώτερον δὲ πάντων
Ἀποτυγχάνειν φιλοῦντα.
Γένος οὐδὲν εἰς Ἔρωτα·

Σοφίη,



Σοφίη, τρόπος, πατεῖται·
Μόνον ἄργυρον βλέπουσιν.
Ἀπόλοιτο πρῶτος αὐτὸς
Ὁ τὸν ἄργυρον φιλήσας.
Διὰ τοῦτον οὐκ ἀδελφὸς,
Διὰ τοῦτον οὐ τοκῆες·
Πόλεμοι, φόνοι δι' αὐτόν.
Τὸ δὲ χεῖρον, ὀλλύμεθα
Διὰ τοῦτον οἱ φιλοῦντες.

Τοῦ αὐτοῦ

Εἰς ῥόδον.

Στεφανηφόρου μετ' ἦρος
Μέλπομαι ῥόδον θέρειον·
Σὺ, ἑταῖρ', ἄεξε μολπήν.
Τόδε γὰρ θεῶν ἄημα,
Τόδε καὶ βροτῶν τὸ χάρμα,
Χάρισίν τ' ἄγαλμ', ἐν ὥραις
Πολυανθέων ἐρώτων·
Ἀφροδίσιόν τ' ἄθυρμα.
Τόδε καὶ μέλημα μύθοις,
Χαρίεν φυτόν τε Μουσέων·
Γλυκὺ καὶ ποιοῦντι πεῖραν
Ἐν ἀκανθίναις ἀταρποῖς·

Γλυκὺ

Γλυκὺ δ᾽ αὖ λαβόντι θάλπειν
Μαλακαῖσι χερσὶ, κούφως
Προσάγοντ᾽ Ἔρωτος ἄνθος.
Ὡς σοφῷ τόδ᾽ αὐτὸ τερπνὸν
Θαλίαις τε καὶ τραπέζαις,
Διονυσίαις θ᾽ ἑορταῖς.
Τί δ᾽ ἄνευ ῥόδου γένοιτ᾽ ἄν;
Ῥοδοδάκτυλος μὲν Ἠὼς,
Ῥοδοπήχεες δὲ Νύμφαι,
Ῥοδόχρους δὲ Κἀφροδίτη
Παρὰ τῶν σοφῶν καλεῖται.
Τόδε καὶ νοσοῦσιν ἀρκεῖ·
Τόδε καὶ νεκροῖς ἀμύνει·
Τόδε καὶ χρόνον βιᾶται.
Χαρίεν ῥόδων δὲ γῆρας
Νεότητος ἔσχεν ὀδμήν.
Φέρε δὴ, φυὴν λέγωμεν·
Χαροπῆς ὅτ᾽ ἐκ θαλάττης
Δεδροσωμένην Κυθήρην
Ἐλόχευε Πόντος ἀφρῷ,
Πολεμόκλονόν τ᾽ Ἀθήνην
Κορυφῆς ἐδείκνυε Ζεὺς,
Φοβερὰν θέαν Ὀλύμπῳ·
Τότε καὶ ῥόδων ἀγητῶν
Νέον ἔρνος ἤνθισε Χθὼν

Πολυ-



Πολυδαίδαλον λόχευμα.
Μακάρων θεῶν δ᾽ ὅμιλος,
Ῥόδον ὡς γένοιτο, Νέκταρ
Ἐπιτέγξας, ἀνέτειλεν
Ἀγέρωχον ἐξ ἀκάνθης
Φυτὸν ἄμβροτον Λυαίου.

ΘΕΟΚΡΙ-

# ΘΕΟΚΡΙΤΟΥ

## Εἰς νεκρὸν Ἄδωνιν.

Ἄδωνιν ἡ Κυθήρη
Ὡς εἶδε νεκρὸν ἤδη,
Στυγνὴν ἔχοντα χαίταν,
Ὠχράν τε τὴν παρειὰν,
Ἄγειν τὸν ὗν πρὸς αὐτὴν
Ἔταξε τὼς Ἔρωτας.
Οἱ δ' εὐθέως ποτανοὶ
Πᾶσαν δραμόντες ὕλαν,
Στυγνὸν τὸν ὗν ἀνεῦρον,
Δῆσάν τε, κἀπέδησαν·
Χὼ μὲν, βρόχῳ καθάψας,
Ἔσυρεν αἰχμάλωτον·
Ὁ δ', ἐξόπισθ' ἐλαύνων,
Ἔτυπτε τοῖσι τόξοις·
Ὁ θὴρ δ' ἔβαινε δειλῶς.
Φοβεῖτο γὰρ Κυθήρην.
Τῷ δ' εἶπεν Ἀφροδίτα,
Πάντων κάκιστε θηρῶν,
Σὺ τόνδε μηρὸν ἴψω;
Σὺ μευ τὸν ἄνδρ' ἔτυψας;
Ὁ θὴρ δ' ἔλεξεν ὧδε,

Ὄμνυμί σοι, Κυθήρη,
Αὐτήν σε καὶ τὸν ἄνδρα,
Καὶ ταῦτά μευ τὰ δεσμὰ,
Καὶ τώσδε τὼς Κυναγὼς,
Τὸν ἄνδρα τὸν καλόν σευ
Οὐκ ἤθελον πατάξαι·
Ἀλλ᾽ ὡς ἄγαλμ᾽ ἐσεῖδον,
Καὶ, μὴ φέρων τὸ καῦμα,
Γυμνὸν, τὸν εἶχε, μηρὸν
Ἐμμαινόμαν φιλᾶσαι·
Καί μευ κατεκσίναζε.
Τούτως λαβοῦσα, Κύπρι,
Τούτως κόλαζε, τέμνε,
(Τί γὰρ φέρω περισσῶς;)
Ἐρωτικὼς ὀδόντας.
Εἰ δ᾽ οὐχί σοι τάδ᾽ ἀρκεῖ,
Καὶ ταῦτ᾽ ἐμεῦ τὰ χείλη.
Τὸν δ᾽ ἠλέησε Κύπρις,
Εἶπέν τε τοῖς Ἔρωσι,
Τὰ δεσμὰ οἱ ᾽πλῦσαι.
Ἐκ τῶδ᾽ ἐπηκολούθει,
Ὕλαν δ᾽ ἔτ᾽ οὐκ ἔβαινε,
Καὶ τῷ πυρὶ προσελθὼν
Ἔκαιε τὼς ἔρωτας.

ΣΑΠ-



# ΣΑΠΦΟΥΣ ΑΣΜΑ

## Εἰς Ἀφροδίτην.

Ποικιλόθρον᾽ ἀθάνατ᾽ Ἀφροδίτη,
Παῖ Δίος, δολοπλόκε, λίσσομαί σε,
Μή μ᾽ ἄσαισι μηδ᾽ ἀνίαισι δάμνα
Πότνια θῦμον.
Ἀλλὰ τυίδ᾽ ἔλθ᾽, αἴποκα κατερῶτα
Τᾶς ἐμᾶς αὔδως αἴοισα πολλὺ
Ἔκλυες, πατρὸς δὲ δόμον λιποῖσα
Χρύσεον, ἦλθες,
Ἅρμ᾽ ὑποζεύξαισα· καλοὶ δέ σ᾽ ἆγον
Ὠκέες στρουθοὶ, περὶ γᾶς μελαίνας
Πυκνὰ δινοῦντες πτέρ᾽ ἀπ᾽ ὠράν᾽ ὠθέ-
ρος διὰ μέσσω·
Αἶψ᾽ ἀλλ᾽ ἐξίκοντο· τὺ δ᾽, ὦ μάκαιρα,
Μειδιάσαισ᾽ ἀθανάτῳ προσώπῳ,
Ἤρε᾽ ὅττι δ᾽ ἦν τὸ πέπονθα, χ᾽ ὅττι
Δήν τε κάλημμι·
Χ᾽ ὅττ᾽ ἐμῷ μάλιστα θέλω γενέσθαι
Μαινόλᾳ θύμῳ· τίνα δ᾽ αὖτε πείθημ-
Μι σαγηνεύσαν φιλότητα· τίς σ᾽ ὦ
Σαπφοῖ, ἀδικῆ;

Καὶ

Καὶ γὰρ εἰ φεύγη, ταχέως διώξει·
Αἰ δὲ δῶρα μὴ δέκετ', ἀλλὰ δώσει·
Αἰ δὲ μὴ φιλεῖ, ταχέως φιλήσει,
Χ' ὅτι κελεύης.

Ἔλθέ μοι καὶ νῦν, χαλεπᾶν δὲ λῦσον
Ἐκ μεριμνᾶν, ὅσσα δέ μοι τελέσσαι
Θῦμος ἱμέῤῥει, τέλεσον, σὺ δ' αὔτα
Σύμμαχος ἔσσο.

Τῆς αὐτῆς

Εἰς Κόρην.

Φαίνεταί μοι κῆνος ἴσος θεοῖσιν
Ἔμμεν ὠνὴρ, ὅστις ἐναντίος τοι
Ἰζάνει, καὶ πλασίον ἁδὺ φωνεύ-
σας ὑπακούει,
Καὶ γελώσας ἱμερόεν, τό μοι τὰν
Καρδίαν ἐν στήθεσιν ἐπτόασεν.
Ὡς γὰρ εἴδω σε, βροχέας με φώνας
Οὐδὲν ἔτ' ἥκει·
Ἀλλὰ καμμὲν γλῶσσα σέσιγε, λεπτὸν δ'
Αὐτίκα χρῷ πῦρ ὑποδεδρόμακεν,
Ὀππάτεσσιν δ' οὐδὲν ὄρημι, βομβεῦ-
σιν δ' ἀκοαί μοι.

Καδδ'



Καδδ' ἱδρὼς ψυχρὸς χέεται, τρόμος δὲ
Πᾶσαν ἀγρεῖ· χλωροτέρη δὲ ποίας
Ἔμμι, τεθνάκην δ' ὀλίγω 'πιδεύσης
Φαίνομαι ἄπνους.

ΑΡΙ-

# ΑΡΙΦΡΩΝΟΣ

Εἰς Ὑγίειαν Παιάν.

Ὑγίεια πρεσβίστα Μακάρων,
Μετὰ σοῦ ναίοιμι
Τὸ λειπόμενον βιοτᾶς.
Σὺ δέ μοι πρόφρων σύνοικος εἴης.
Εἰ γάρ τις ἢ πλούτου χάρις ἢ τεκέων,
Τᾶς εὐδαίμονός τ' ἀνθρώποις
Βασιληΐδος ἀρχᾶς, ἢ πόθων,
Οὓς κρυφίοις Ἀφροδίτης ἄρκυσιν θηρεύομεν,
Ἢ εἴτις ἄλλα θεόθεν ἀνθρώποις τέρψις,
Ἢ πόνων ἀμπνοὰ πέφανται,
Μετὰ σεῖο, μάκαιρα Ὑγίεια,
Τέθηλε πάντα, καὶ λάμπει χαρίτων ἔαρ·
Σέθεν δὲ χωρίς, οὐδεὶς εὐδαίμων πέλει.





# ΑΡΙΣΤΟΤΕΛΟΥΣ

Εἰς Ἀρετήν.

Ἀρετὰ πολύμοχθε,
Γένει βροτείῳ
Θήραμα κάλλιστον βίῳ·
Σᾶς πέρι, παρθένε, μορφᾶς
Καὶ θανεῖν ζηλωτὸς Ἑλλάδι πότμος,
Καὶ πόνους τλῆναι μαλεροὺς καὶ ἀκάμαντας·
Τοῖον ἐπὶ φρένα βάλλεις
Καρπόν τ' ἀθάνατον,
Χρυσοῦ τε κρείσσονα καὶ γονέων,
Μαλακαυγητοῖο θ' ὕπνου.
Σοῦ δ' ἕνεκ' ἐκ Διὸς Ἡρακλέης
Λήδας τε κοῦροι
Πολλ' ἀνέτλασαν,
Ἔργοις σὰν ἀγορεύοντες δύναμιν.
Σοῖς δὲ πόθοις Ἀχιλλεύς,
Αἴας τ' αἴδαο δόμους ἦλθον·
Σᾶς δ' ἕνεκεν φιλίου μορφᾶς
Ἀταρνέως ἔντροφος
Ἀελίου χήρωσεν αὐγάς·
Τοίγαρ ἀοίδιμος ἔργοις,

Ἀθάνατοί τέ μιν αὐξήσουσι Μοῦσαι
Μνημοσύνας θύγατρες,
Διὸς ξενίου σέβας αὔξουσαι,
Φιλίας τε γέρας βεβαίου.





Pasters

# ΩΔΗ

## Εἰς τὴν τοῦ Χριστοῦ σταύρωσιν.

Ἄλις ἐνθέου φλυάρου·
Ἄμειβε Μοῦσα χορδὰς,
Καὶ βάρβιτον λαβοῦσα,
Σεμνὸν κρότησον ὕμνον
Σταυρουμένῳ Ἄνακτι.
Ὦ θαυμάτων ἄπληστε
Θησαυρὲ, κ' ἀπέραντε·
Τί Σοὶ, τί πρῶτον εἴπω;
Θέλω λέγειν ἀνέκφατον βροτοῖσι,
Μακάρεσσί τε Δαίμοσι κρύφον,
Πῶς Θεὸς ὢν ἔθανες·
Θέλω λέγειν ἀνιχνίαστα βένθη
Ἐλέου, ὅτι λύτρον ὑπὲρ ἐχθρῶν
Υἱὸν ἔδωκε Πατήρ·
Θέλω ὑψόθ' αὖσαι
Θέσφατον θρίαμβον
Τριημέροιο νεκροῦ,
Καὶ αἰχμάλωτον Ἅδην,
Καὶ Θάνατον θανάτῳ δαμέντα·
Ἀλλά μοι ἀμφιβρέμει Κρανίων ὄρος,

Καὶ πολύθρου κελάδου γέμει οὖατα
Ὀλλύντων, ὀλλυμένων τε.
Ἐκθόρετ᾽ ἐς λόφον, ὄμματα·
Τίς μέσατος κρέμαται τριῶν,
(Ὡς οὐδὲν δυσὶν ἴκελος,)
Ἐκ δ᾽ ἐτάθη τετράζυγι πρέμνῳ,
Πρηῢ κάρηνον
Ἡδέως κεκυφώς,
Καὶ ὠλενῶν ἱερὸν κράτος
Ἐγκάρσιον πετάσσας,
Νηλεέσι γόμφοις
Πεπαρμένον ἔνθα καὶ ἔνθα;
Ἄνθρωπε τάλαν, ταῦτ᾽ ἀπαθὴς βλέπεις;
Οἴμωζε πολλὰ,
Ἐσθῆτα ῥῆξον,
Καὶ τύπτε στέρνον,
Καὶ τίλλε χαίτην,
Καὶ σπλάγχνα κινοῦ·
Ἦ οὐχ ὁρᾷας ὁλοπόρφυρον,
Στίλβοντ᾽ οὐ φλογὶ
Σιδονίης ἁλὸς, ἀλ-
-λ᾽ αἵματι σταζομένῳ,
Τῷ μὲν ἀπὸ κροτάφων
Κυκλουμένων ἀκάνθης
[illegible]σόμοισι κευραῖς,

Τῷ



Τῷ δὲ καὶ ἐκ μελέων
Κεχαραγμένων ἱμάσθλης
Πικρῇσι συμπλοκῇσι;
Ἄνοιγ᾽, ἄνοιγε
Πύλας ὀπωπῶν·
Καὶ πηγὰς βλεφάρων
Λύσαι· Ψέκαζε, δεῦε γαῖαν·
Σὺν τῷ ἀφειδῶς
Ἑὸν αἷμα χέαν-
-τ᾽, ὀλίγ᾽ ἄτλα λείβειν δάκρυα
Τίς φθόνος, ὦ βροτέ;

IN-

# INDEX
## Autorum & Poematum.


A

Pag.

Anacreontis *Odæ quædam* 67.

Ariphronis *Hymnus ad Salutem* 87.

Aristotelis *Hymnus ad Virtutem* 89.

B

Bionis *Idyl.* I. II. III. 17.

C

Callimachi *Hymnus ad Jovem* 41.

*Ejusdem ad* Apollinem 45.

H

Hesiodi *de ætatibus* 1.

M

Masters. *Ode in Christum Crucifixum* 91.

Moschi *Amor fugitivus* 15.

Musæi *de* Herone & Leandro 23.

P

Pindari *Olymp. Ode* II. 51.

*Ejusdem Nem. Ode* I. 60.

Pythagoræ *aurea Carmina* 37.

S

Sapphûs *Odæ* 85.

T

Theocriti *Idyl.* I. XIX. XXIII. 5.

*Ejusdem Anacreontium* 67.


FINIS.



SISMANOGLIO MEGARO

SISMANOGLIO